Nam fractos artus, & languida colla trahentes
Reddentur stabulis, vel si Stymphalides essent
Nonum annum egressæ, firmæ, cornúque valentes;
Rara quibus vis est pinguem proscindere glebam.
Nunquam etenim choreas has præterlabere Phœbe;

At sistens

Οὔρεα βόσκεσθε· τί δὲ κεν πρόκες ἠδὲ λαγωοὶ
Ῥέξειαν; σύες ἔργα, σύες φυτὰ λυμαίνονται.
Καὶ βόες ἀνθρώποισι κακὸν μέγα· βάλλ' ἐπὶ καὶ τούς.
Ὡς ἔνεπεν, τάχινος δὲ μέγαν περὶ θῆρα πονεῖτο.
Οὐ γὰρ ὅγε Φρυγίῃ περ ὑπὸ δρυὶ γυῖα θεωθεὶς
Παύσατ' ἀδηφαγίης. ἔτι οἱ πάρα νηδὺς ἐκείνη
Τῇ ποτ' ἀροτριάοντι σύνηντετο Θεοδάμαντι.
Σοὶ δ' Ἀμνισιάδες μὲν ὑπὸ ζεύγληφι λυθείσας
Ψήχουσιν κεμάδας, παρὰ δέ σφισι πουλὺ νέμεσθε
Ἥρης ἐκ λειμῶνος ἀμησάμεναι φορέουσιν
Ὠκύθοον τριπέτηλον. ὃ καὶ Διὸς ἵπποι ἔδουσι.
Ἐν καὶ χρυσείας ὑπολήνιδας ἐπλήσαντο
Ὕδατος· ὄφρ' ἐλάφοισι ποτὸν θυμάρμενον εἴη.
Αὐτὴ δ' ἐς πατρὸς δόμον ἔρχεαι· οἱ δὲ σ' ἐφ' ἕδρην
Πάντες ὁμῶς καλέουσι· σὺ δ' Ἀπόλλωνι παρίζεις.
Ἡνίκα δ' αἱ νύμφαι σε χορῷ ἔνι κυκλώσονται
Ἀγχόθι πηγάων Αἰγυπτίου Ἰνωποῖο,
Ἡ Πιτάνης, (καὶ γὰρ Πιτάνη σέθεν) ἢ ἐνὶ Λίμναις,
Ἡ ἵνα δαῖμον Ἀλὰς Ἀραφηνίδας οἰκήσουσα
Ἦλθες ἀπὸ Σκυθίης, ἀπὸ δ' εἴπαο τέθμια Ταύρων·
Μὴ νειὸν τημοῦτος ἐμαὶ βόες εἵνεκα μισθοῦ
Τετράγυον τέμνοιεν ὑπ' ἀλλοτρίῳ ἀροτῆρι.
Ἡ γάρ κεν γυῖάς τε καὶ αὐχένα κεκμηκυῖαι
Κόπρον ἔπι προγένοιντο, καὶ εἰ Στυμφαλίδες εἶεν,
Εἰναετιζόμεναι, κερεαλκέες, αἳ μέγ' ἄρισται
Τέμνειν ὦλκα βαθεῖαν. ἐπεὶ θεὸς οὔποτ' ἐκεῖνον
Ἦλθε παρ' Ἠέλιος καλὸν χορόν· ἀλλὰ θεῆται

Δίφρον ἐπιστήσας, τὰ δὲ φάεα μηκύνονται.
Τίς δέ νύ τοι νήσων, ποῖον δ' ὄρος εὔαδε πλεῖστον;
Τίς δὲ λιμήν; ποίη δὲ πόλις; τίνα δ' ἔξοχα νυμφέων
Φίλαο, καὶ ποίας ἡρωΐδας ἔσχες ἑταίρας
Εἰπὸ θεά· σὺ μὲν ἄμμιν, ἐγὼ δ' ἑτέροισιν ἀείσω.
Νήσων μὲν, Δολίχη, πολίων δέ τοι ἔυαδε Πέργη,
Τηΰγετον δ' ὀρέων· λιμένες γε μὲν Εὐρίποιο.
Εξοχα δ' ἀλλάων Γορτυνίδα φίλαο νύμφην,
Ελλοφόνον, Βριτόμαρτιν, ἐΰσκοπον· ἧς ποτὲ Μίνως
Πτοιηθεὶς ὑπ' ἔρωτι κατέδραμεν οὔρεα Κρήτης.
Η δ' ὁτὲ μὲν λασίῃσιν ὑπὸ δρυσὶ κρύπτετο νύμφη,
Αλλοτε δ' εἰαμενῇσιν. ὁ δ' ἐννέα μῆνας ἐφοίτα
Παίπαλά τε κρημνούς τε· καὶ οὐκ ἀνέπαυσε διωκτὺν
Μέσφ' ὅτε μαρπτομένη καὶ δὴ σχεδὸν ἥλατο πόντον,
Πρηόνος ἐξ ὑπάτοιο· καὶ ἔνθορεν εἰς ἁλιήων
Δίκτυα, τά σφ' ἐσάωσεν. ὅθεν μετέπειτα Κύδωνες
Νύμφαν μὲν, Δίκτυνναν, ὄρος δ' ὅθεν ἥλατο νύμφη,
Δικταῖον καλέουσιν. ἀνεστήσαντο δὲ βωμοὺς,
Ιερά τε ῥέζουσι. τὸ δὲ στέφος ἤματι κείνῳ,
Ηπίτυς, ἢ σχῖνος· μύρτοιο δὲ χεῖρες ἄθικτοι.
Δὴ τότε γὰρ πέπλοισιν ἐνέσχετο μύρσινος ὄζος
Τῆς κούρης, ὅτ' ἔφευγεν· ὅθεν μέγα χώσατο μύρτῳ.
Οὖπι ἄνασσ' ἐυῶπι, φαεσφόρε, καὶ δέ σε κείνης
Κρηταέες καλέουσιν ἐπωνυμίην ἀπὸ νύμφης.
Καὶ μὴν Κυρήνην ἑταρίσσαο, τῇ ποτ' ἔδωκας
Αὐτὴ θηρητῆρε δύω κύνε, τοῖς ἔνι κούρη
Υψηΐς παρὰ τύμβον Ιώλκιον ἔμμορ' ἀέθλου·

Καὶ

At sistens currum spectas, & longior it lux.
Insula quæ potior, qui mons tibi gratior, & qui
Arridet portus magis atq; vrbs. quæ tibi nympha
Antè alias placeat, sociæ quæ heroides adstent
Dic dea tu nobis; alios eadem ipse docebo.
Insula præ reliquis Doliche, vrbs gratissima Perga
At mons Taygetus, Euripi portus; amicam
Plus reliquis nympham Gortynida dilexisti,
Infestam ceruis Britomartin, cuius amore
Accensus Minos errauit per iuga Cretæ.
Sed modò se quercu, modo nympha vligine texit.
Ille nouem menses iuga per scopulósque secutus
Non prius abstinuit, donec iam proxima captæ
Se propè sublimi de rupe immisit in æquor,
Retiáque insiliit piscantum; his sospes inhæsit.
Dictynnam Nympham Cydones tempore ab illo,
Dictæúmque vocant montem quo desilit illa;
Instaurántque aras, persoluúntque annua sacra.
Luce illa è pinu sibi lentiscóve corollas
Conficiunt; myrtum fas non attingere dextra;
Namque eius ramus tunicæ fugientis adhæsit
Myrteus. hinc oculis myrtum non aspicit æquis.
Vpi, decora oculis, lucem regina ministrans,
Cretenses tribuunt nympha tibi nomen ab illa.
Gaudes & socia Cyrene. huic Delia binos
Donasti catulos olim venatibus aptos,
Queis Nympha ad Peliæ tumulũ certamine vicit.

Quinetiam Cephali coniux te Dëionida
Venantem assiduè sequitur. sed iudice fama
Non minus Anticlea tuis tibi amatur ocellis.
Prima illa celeres arcus, pharetrásque sagittis
Fœtas, aptarunt humeris, dextrumq; lacertum
Illa sæpe nuda emicuëre papilla.
Laudasti & cursu insignem pernice Atalantam
Iasio natam; qua nulla infestior apris,
Docta abs te venandi artem, certúmque ferire.
Non hanc venantes, strato Calydone sub alta
Illustres apro, damnent; victricia signa
Arcas adhuc seruat, dentes monstrátque ferinos.
Sed neque crediderim Hylæum, Rhetúmq; ferocem,
Quamuis apud manes odio illius vsque laborent,
Carpturas iaculatricem. nanque ilia vanos
Arguerent traiecta, cruentáque Manala cæde.
Vrbibus & domibus diues salueto Chitone,
Mileti præses. nam te fretus duce Neleus
Classe cita profugus claris excessit Athenis.
Chesias, Imbrasie, solio qua prima refulges;
Cui propria nauis clauum olim maior Atrides
Suspendit templo, soluendis præmia ventis;
Puppibus infestis cùm Græci ad pergama cursum
Dirigerent, Helenam irati Rhamnusida propter.
Certè bina tibi, dea, Ratus templa dicauit,
Quorum vnum Coriæ dictũ: quòd nempe vagantes
Illius iuga per reuocasti Axinia natas.

Heme-

Καὶ Κεφάλου ξανθὴν ἄλοχον Δηϊονίδαο
Πότνια σὴν ὁμόθηρον ἐθήκαο· καὶ δέ σε φασὶ
Καλὴν Αντίκλειαν ἴσον φαέεσσι φιλῆσαι·
Αἳ πρῶται θοὰ τόξα καὶ ἀμφ' ὤμοισι φαρέτρας
Ιοδόκους ἐφόρησαν· ἀσύλωτοι δέ φιν ὦμοι
Δεξιτεροὶ, καὶ γυμνὸς ἀεὶ παρεφαίνετο μαζός.
Ηνησας δ' ἔτι πάγχυ ποδοῤῥώτην Αταλάντην,
Κούρην Ιασίοιο συοκτόνον Αρκασίδαο,
Καί ἑ κυνηλασίην τε καὶ ἐυστοχίην ἐδίδαξας.
Οὔ μιν ἐπίκλητοι Καλυδωνίου ἀγρευτῆρες
Μέμφονται κάπροιο. τὰ γὰρ σημήϊα νίκης
Αρκαδίην εἰσῆλθεν, ἔχει δ' ἔτι θηρὸς ὀδόντας.
Οὐδέ μεν Υλαῖόν τε καὶ ἄφρονα Ροῖκον ἔολπα,
Οὐδέ περ ἐχθαίροντας, ἐν ἄϊδι μωμήσεσθαι
Τοξότιν. οὐ γάρ σφιν λαγόνες συνεπιψεύσονται,
Τάων Μαιναλίη νᾶεν φόνῳ ἀκρόρεια.
Πότνια, πουλυμέλαθρε, πολύπτολι χαῖρε Χιτώνη,
Μιλήτῳ ἐπίδημε. σὲ γὰρ ποιήσατο Νηλεὺς
Ηγεμόνην, ὅτε νηυσὶν ἀνήγετο Κεκροπίηθεν,
Χησιὰς, Ιμβρασίη, προτόθρονε· σοὶ δ' Αγαμέμνων
Πηδάλιον νηὸς σφετέρης ἐγκάτθετο νηῷ,
Μείλιον ἀπλοίης, ὅτέ οἱ κατέδησας ἀήτας.
Τεύκρων ἡνίκα νῆες Αχαιΐδες ἄστεα κήδειν
Επλεον, ἀμφ' Ελένῃ Ραμνουσίδι θυμωθεῖσαι.
Ημὲν τοι Προῖτός γε δύω ἐκαθίσσατο νηούς·
Αλλον μὲν, Κορίης, ὅτι οἱ συνελέξαο κούρας
Οὔρεα πλαζομένας ἀξείνια· τὴν δ' ἐνὶ Λούσσοις.

Ημέρῃ, ὅνεκα θυμὸν ἀπ' ἄγριον εἵλεο παίδων.
Σοὶ καὶ Αμαζονίδες πολέμου ἐπιθυμήτειραι
Εν κοτε παῤῥαλίῃ Εφέσου βρέτας ἱδρύσαντο,
Φηγῷ ὑπὸ πρέμνῳ. τέλεσεν δέ τοι ἱερὸν Ιππώ.
Αὐταὶ δ' Οὖπι ἄνασσα περὶ πρύλιν ὠρχήσαντο,
Πρῶτα μὲν ἐν σακέεσσιν ἐνόπλιον, αὖθι δὲ κύκλῳ
Στησάμεναι χορὸν εὐρύν. ὑπήεισαν δὲ λίγειαι
Λεπταλέον σύριγγες, ἵνα πλήσωσιν ὁμαρτῆ.
Οὐ γάρ πω νέβρεια δι' ὀστέα τετρήνοντο,
Εργον Αθηναίης ἐλάφῳ κακόν. ἔδραμε δ' ἠχὼ
Σάρδιας, ἔς τε νομὸν Βερεκύνθιον. αἱ δὲ πόδεσσιν
Οὖλα κατεκροτάλιζον, ἐπεψόφεον δὲ φαρέτραι.
Κεῖνο δέ τοι μετέπειτα περὶ βρέτας εὐρυθέμεθλον
Δωμήθη. τῶν δ' ὅτι θεώτερον ὄψεται ἠώς,
Οὐδ' ἀφνειότερον· ῥέα κεν Πυθῶνα παρέλθοι.
Τῷ ῥα καὶ ἠλαίνων ἀλαπαζέμεν ἠπείλησε
Λύγδαμις ὑβριστής· ἐπὶ δὲ στρατὸν ἱππημολγῶν
Ηγαγε Κιμμερίων, ψαμάθῳ ἴσον, οἵ ῥα παρ' αὐτὸν
Κεκλιμένοι ναίουσι βοὸς πόρον Ιναχιώνης.
Α δειλὸς βασιλέων, ὅσον ἤλιτεν. οὐ γὰρ ἔμελλεν
Οὔτ' αὐτὸς Σκυθίην δε παλιμπετὲς, οὔτέ τις ἄλλος
Οσσων ἐν λειμῶνι Καϋστρίῳ ἔσαν ἅμαξαι,
Νοστήσειν· Εφέσου γὰρ ἀεὶ τεὰ τόξα πρόκειται.
Πότνια Μουνυχίη, λιμενοσκόπε χαῖρε Φεραίη.
Μή τις ἀτιμήσῃ τὴν Αρτεμιν· οὐ δὲ γὰρ Οἰνεῖ
Βωμὸν ἀτιμάσαντι καλοὶ πτόλιν ἦλθον ἀγῶνες.
Μηδ' ἐλαφηβολίην, μηδ' ἐυστοχίην ἐριδαίνειν·

Οὐδὲ

Hemeries aliud tẽplum est, prope Lussa; quod omnẽ
Propitia abstuleris illarum mente furorem. [vrbe
Quin simulachrum Ephesina etiã tibi Amazones
Bellaces posuêre, altam quâ proiicit vmbram
Fagus; diuinos Hippo persoluit honores.
Ast illæ, Vpi, tibi armatam saliêre choream,
Consertus primùm clypeis, latam inde per orbem
Pandentes choream: sonitu cui fistula acuto
Præcinit, irrequieta trahens huc agmina & illuc.
Tibiam enim nondũ hinnuleã terebrare repertum
Palladis arte, mala ceruis, erat. it sonus vsque
Sardias, atque vltra Berecynthia pascua. At illæ
Ingentem pedibus strepitum, pharetráque ciebant.
Hocipsum simulachrum augusto, Delia, templo
Cura hominum sepsit; quo nil diuinius Eos
Splendidiúsue videt; Pythone opulentius ipso.
Impius id demensq; olim vastare minatus
Lygdamis, æquoreæ vim conscripsit parem arenæ
Cymmeriûm, Inachius quos fudit Bosphorus illi.
O facinus tetrum atq; immane, miserrime regum,
Nam neq; te in Scythiã rursus, quenquámue tuorũ
Plaustra domum referent, ad mollia prata Caystri.
Nanque Ephesum semper tua, Delia, tela tuentur.
Munichie, portus tutans, salueto Pheræa.
Dianam nemo temnat. nanque illius aras
Contemnens Oeneus certamina dura subiuit.
Venatu nemo, nemo illam prouocet arcu;

Constitit Atridæ precio iactantia magno.
Innuptæque deæ thalamum nemo appetat, Otus
Testis, & Orion, olim haud impunè procaces. 265
Neu choreas fugiat solemnes quippe nec Hippo
Auersata chorum est Dianæ indemnis ad aram.
Salue diua potens, nostræque faueto Camœnæ.

CALLIMACHI HYMNVS IN DELVM.

QVANDO sacram tandem, mea, vel quo tẽpore Delum
Carmine Musa canes, magni incunabula Phœbi?
Cycladibus non vlla iacet celebris mage ponto
Insula; at ex Musis laus Deli est maxima vatum,
Quæ regem Phœbum lauit, cunísque recepit; 5
Primáque diuinos illi decreuit honores.
Vt Musæ vatem iugani Pimplæa celebret,

Sic

Οὐδὲ γὰρ Ατρείδης ὀλίγῳ ἐπεκόμπασε μισθῷ.
Μηδέ τινα μνᾶσθαι τὴν παρθένον· οὐδὲ γὰρ Ωτος
Οὐδὲ μὲν Ωαρίων ἀγαθὸν γάμον ἐμνήσευσαν.
Μηδὲ χορὸν φεύγειν ἐνιαύσιον· οὐδὲ γὰρ Ιππὼ
Ακλαυτεὶ περὶ βωμὸν ἀπείπατο κυκλώσασθαι.
Χαῖρε μέγα κρείουσα, καὶ εὐάντησον ἀοιδῇ.

ΚΑΛΛΙΜΑΧΟΥ ΥΜΝΟΣ ΕΙΣ ΤΗΝ ΔΗΛΟΝ.

ΤΗΝ ἱερὴν ὦ θυμὲ τίνα χρόνον ἢ πότ' ἀείσεις
Δῆλον, Απόλλωνος κουροτρόφον; ἦ μὲν ἅπασαι
Κυκλάδες, αἳ νήσων ἱερώτατ' εἰν ἁλὶ κεῖνται,
Εὔϋμνοι· Δῆλος δ' ἐθέλει τὰ πρῶτα φέρεσθαι
Εκ Μουσέων, ὅτι Φοῖβον ἀοιδάων μεδέοντα
Λοῦσέ τε καὶ πείρωσε, καὶ ὡς θεὸν ᾔνεσε πρώτη.
Ως Μοῦσαι τὸν ἀοιδὸν ὁ μὴ Πίμπλειαν ἀείσει,

Εχθȣσιν, τὼς Φοῖβος ὅτις Δήλοιο λάθηται.
Δήλῳ νῦν οἴμης ἀποδάσσομαι, ὡς ἂν Απόλλων
Κύνθιος αἰνήσῃ με φίλης ἀλέγοντα τιθήνης.
Κείνη δ' ἠνεμόεσσα καὶ ἄτροπος, οἷά θ' ἁλιπλὴξ,
Αἰθύιης καὶ μᾶλλον ἐπίδρομος ἠέπερ ἵπποις,
Πόντῳ ἐνεστήρικται. ὁ δ' ἀμφί ἑ πȣλὺς ἑλίσσων,
Ικαρίȣ πολλὴν ἀπομάσσεται ὕδατος ἄχνην.
Τῷ σφε καὶ ἰχθυβολῆες ἁλίπλοοι ἐννάσαντο.
Αλλά οἱ ȣ νεμεσητὸν ἐνὶ πρώτῃσι λέγεσθαι,
Οππότ' ἐς Ωκεανόν τε καὶ ἐς Τιτηνίδα Τηθὺν
Νῆσοι ἀολλίζονται· ἀεὶ δ' ἔξαρχος ὁδεύει.
Η' δ' ὄπιθεν Φοίνισσα μετ' ἴχνια Κύρνος ὀπηδεῖ,
Οὐκ ὀνοτή. ἐς Μάκρις Αβαντιὰς Ελλοπιήων,
Σαρδώθ' ἱμερόεσσα, καὶ ἣν ἐπενήξατο Κύπρις
Εξ ὕδατος ταπρῶτα· σαοῖ δέ μιν ἀντ' ἐπιβάθρων.
Κεῖναι μὲν πύργοισι περισκεπέεσσιν ἐρυμναὶ,
Δῆλος δ' Απόλλωνι. τί ἢ σιβαρώτερον ἕρκος;
Τείχεα μὲν καὶ λᾶες ὑπαὶ ῥιπῆς κε πέσοιεν
Στρυμονίȣ βορέαο· θεὸς δ' ἀεὶ ἀστυφέλικτος.
Δῆλε φίλη, τοῖός σε βοηθόος ἀμφιβέβηκεν.
Εἰ ἢ λίην πολέες σε περιτροχόωσιν ἀοιδαὶ,
Ποίῃ ἐνιπλέξω σε; τί τοι θυμῆρες ἀκȣῆσαι;
Η ὡς ταπρώτιστα μέγας θεὸς οὔρεα θείνων
Αορι τριγλώχινι, τό οἱ Τελχῖνες ἔτευξαν,
Νήσȣς εἰναλίας εἰργάζετο; νέρθε ἢ πάσας
Εκ νεάτων ὤχλισσε καὶ εἰσεκύλισσε θαλάσσῃ;
Καὶ τὰς μὲν κατὰ βένθος, ἵν' ἠπείροιο λάθωνται,

Πρυμνό-

Sic Phœbus merito Delum qui negligit, odit.
Ergo age nunc Delo gratans impertiar hymnum
Vt memorem laudet charæ nutricis Apollo.
Illa quidem ventosa atque aspera, & icta procellis,
Nec tã peruia equis, quã mergis, firma mari stat;
Icariiq́ salí circum vis magna volutans
Intrepidam latè spumanti aspergine tundit.
Fluctiuagis ideo sedes piscantibus apta.
At nulla inuidia est primã hanc si dixero, quotquot
Insulæ in Oceanum vastum Tethynq́ feruntur.
Prima sed incedit semper; vestigia Cyrnus
Ponè legit; sequitur mox Macris ab Ellope dicta.
Sardinia hinc; quamq́ æquoreis adnauit ab vndis
Prima Venus, gratiq́ ascensus nomine seruat.
Turribus illæ equidem tutæ sunt vndique celsis,
At Delus Phœbo. quid vallo fortius isto est?
Saxa etenim & muros Boreæ vis improba sternit
Strymonij; at deus inconcusso robore perstat.
Talis te custos gratissima Dele tuetur.
At cum alij variis vates te laudibus ornent,
Quas tibi ego texam? quid Dele libentius audis?
Anne vt concutiens olim deus ense trisulco
Montes, quem immanes illi struxêre Cycloples,
Inuoluit pelago terras, penitusq́ deorsum
Ignaras fundi præcinxerit vndique ponto?
Ast alias firmæ telluris parte reuulsas

Affixit

Affixit fundo? Sed te haud vincla vlla tenebant,
Liberaq; innabas maria. At tu nomine prisco
Asterie dicta es; quòd te Iouis oscula vitans
Cælitus astri instar in fossam ieceris altam.
Aurea cùm te adiit primum Latona, repentè
Asterie dicta es mutato nomine Delus. [nauta
Nanque Ephyram ex Trœzene, à Xanthi littore,
Tendentes, te sæpè sinu vidêre Saronis;
Elatisq; Ephyra haud vltra cernenda fuisti,
Dum properè Euripum, quâ angustis ille fluentis
Arduus, & sonitu se fert ingente, petisti.
Chalcidicumq; salum exosam, lux vna natatu
Cecropij tulit ad sublimia littora Sunî,
Siue Chium, irriguæ summam siue insulæ oram
Partheniæ (nã tum Samus haud erat) hîc vbi nym-
Te hospitio Ancæi Mycalesides exceperunt. (phæ
At tu quando solùm Phœbo natale dedisti,
Ornauit contra gratus te hoc nomine nauta;
Quod iam non incerta nates hinc inde, sed imo
Æquore in Ægæo stes firma, radicibus actis,
Nil sæuæ metuens iram Iunonis, in omnes
Inflammatam animo grauidas quæ prole maritum
Augerent fratremq; nouæ: at crudelius ipsi
Latonæ infensam; factura quippe parentem
Prole Iouem, quæ Marte illi iucundior esset.
Ergo illam specula obseruans ex ætheris alti
Iram corde agitat, partusq; doloribus ægram

Distinet:

Πρυμνόθεν ἐρρίζωσε· σὲ δ' οὐκ ἔθλιψεν ἀνάγκη,
Ἀλλ' ἄφετος πελάγεσσιν ἐπέπλεες. οὔνομα δ' ἦν σοι
Ἀστερίη τὸ παλαιὸν, ἐπεὶ βαθὺν ἥλαο τάφρον
Οὐρανόθεν φεύγουσα Διὸς γάμον, ἀστέρι ἴση.
Τόφρα μὲν οὔπω σοὶ χρυσέη ἐπεμίσγετο Λητὼ,
Τόφρα δ' ἔτ' Ἀστερίη σὺ καὶ οὐδέ πω ἔκλεο Δῆλος.
Πολλάκις ἐκ Τροιζῆνος ἀπὸ Ξάνθοιο πολίχνης
Ἐρχόμενοι Ἐφύρηνδε, Σαρωνικοῦ ἔνδοθι κόλπου
Ναῦται ἐπεσκέψαντο· καὶ ἐξ Ἐφύρης ἀνιόντες,
Οἱ μέν ἔτ' οὐκ ἴδον αὖθι· σὺ δὲ στεινοῖο παρ' ὀξὺν
Ἑδραμες Εὐρίποιο πόρον καναχηδὰ ῥέοντος.
Χαλκιδικῆς δ' αὐτῆμαρ ἀνηναμένη ἁλὸς ὕδωρ,
Μέσφ' ἐς Ἀθηναίων προσενήξαο Σούνιον ἄκρον,
Ἠ Χίον, ἢ νήσοιο διάβροχον ὕδατι μαστὸν
Παρθενίης. οὔπω γὰρ ἔην Σάμος, ἠχί σε νύμφαι
Γείτονες Ἀγκαίου Μυκαλησίδες ἐξείνισαν.
Ἡνίκα δ' Ἀπόλλωνι γενέθλιον οὖδας ἐπέσχες,
Τοῦτό τοι ἀντιμοιβὸν ἁλίπλοοι οὔνομ' ἔθεντο,
Οὕνεκεν οὐκέτ' ἄδηλος ἐπέπλεες, ἀλλ' ἐνὶ πόντου
Κύμασιν Αἰγαίοιο ποδῶν ἐνεθήκαο ῥίζας.
Οὐδ' Ἥρην κοτέουσαν ὑπέτρεσας· ἡ μὲν ἁπάσαις
Δεινὸν ἐπεβρωμᾶτο λεχωΐσιν, αἳ Διὶ παῖδας
Ἐξέφερον· Λητοῖ δὲ Διακριδὸν, οὕνεκα μούνη
Ζηνὶ τεκεῖν ἤμελλε φιλαίτερον Ἄρεος υἷα.
Τῷ ῥα καὶ αὐτὴ μὲν σκοπιὴν ἔχεν αἰθέρος εἴσω,
Σπερχομένη μέγα δή τι καὶ οὐ φατὸν. εἶργε δὲ Λητὼ
Τειρομένην ὠδῖσι. δύο δέ οἱ εἵατο φρουροὶ

Γαῖαν

Γαῖαν ὑποπτεύοντες. ὁ μὲν πέδον ἠπείροιο
Ἡμενος ὑψηλῆς κορυφῆς ἔπι Θρήϊκος Αἵμου
Θοῦρος Ἄρης ἐφύλασσε σὺν ἔντεσι· τὼ δέ οἱ ἵππω
Ἑπτάμυχον βορέαο παρὰ σπέος ἠυλίζοντο.
Ἡ δ' ἐπὶ νησάων ἑτέρη σκοπὸς εὐρεϊάων
Ἧστο, κόρη Θαύμαντος, ἐπαΐξασα Μίμαντι.
Ἔνθ' οἱ μὲν πολίεσσιν ὅσαις ἐπεβάλλετο Λητὼ,
Μίμνον ἀπεϊλητῆρες, ἀπετρώπων δὲ δέχεσθαι.
Φεῦγε μὲν Ἀρκαδίη, φεῦγεν δ' ὄρος ἱερὸν Αὔγης
Παρθένιον· φεῦγεν δ' ὁ γέρων μετόπισθε Φεναιός.
Φεῦγε δ' ὅλη Πελοπηΐς ὅση παρακέκλιται Ἰσθμῷ,
Ἐμπλὴν Αἰγιαλοῦ τε καὶ Ἄργεος. οὐ γὰρ ἐκείνας
Ἀτραπιτοὺς ἐπάτησεν, ἐπεὶ λάχεν Ἰναχον Ἥρη.
Φεῦγε καὶ Ἀονίη τὴν ἕνα δρόμον. αἱ δ' ἐφέποντο
Δίρκη τε Στροφίη τε, μελαμψήφιδος ἔχουσαι
Ἰσμηνοῦ χέρα πατρὸς. ὁ δ' εἵπετο πολλὸν ὄπισθεν
Ἀσωπὸς βαρύγουνος, ἐπεὶ πεπάλακτο κεραυνῷ.
Ἡ δ' ὑποδινηθεῖσα χοροῦ ἀπεπαύσατο νύμφη
Αὐτόχθων μελίη, ὃ ὑπόχλοον ἔσχε παρεϊὴν,
Ἡλικος ἀσθμαίνουσα περὶ δρυὸς, ὡς ἴδε χαίτην
Σειομένην Ἑλικῶνος. ἐμαὶ θεαὶ εἴπατε Μοῦσαι,
Ἡ ῥ' ἐτεὸν ἐγένοντο τότε δρύες ἡνίκα νύμφαι.
Νύμφαι μὲν χαίρουσιν ὅτε δρύας ὄμβρος ἀέξει,
Νύμφαι δ' αὖ κλαίουσιν ὅτε δρυσὶν οὐκ ἔτι φύλλα.
Ταῖς μὲν ἔτ' Ἀπόλλων ὑποκόλπιος αἰνὰ χολώθη,
Φθέγξατο δ' οὐκ ἀτέλεστον ἀπεϊλήσας ἐπὶ Θήβῃ·
Θήβη, τίπτε τάλαινα τὴν αὐτίκα πότμον ἐλέγχεις;

Μήπω

Distinet: hinc geminos custodes insuper illi
Addit, queis terras latè sit cura iacentes
Despicere. Ergo alto sistit sese horridus armis
Mars Hæmo; huic Boreæ septẽ antrũ immane ca-
Bini subter equistant at Thaumãtia proles [uernis
Obseruat loca cincta mari, subnixa Mimante.
Hi quascunque pedem Latona ferebat ad vrbes
Dira minabantur, tectisq; arcere iubebant.
Arcadia hanc fugit, fugit quoq; mons sacer Auges
Parthenius, fugitq; senex retro ipse Phenæus,
Et regio Pelopis quacunque inclinat ad Isthmum;
Argos & Ægialon prater. neque enim dea sese
Hac ferre ausa via est. Iuno nanq; Inachũ habebat.
Mox etiam Aoniam simili rapit impete cursus.
Hinc vnà Dircem atque Strophem, queis iunxit &
Ismenus dextram pater. hunc est ponè secutus [ipse
Ægra trahens genua Asopus iam fulmine tactus.
At se subducens Melia, auersata choreas
Palluit, aquæua gemitus super ilice fundens,
Vt vidit quassare comas Helicona repentè.
Dicite sed quaso, meæ numina, dicite Musæ,
Sintne vnà Nymphæ verè cum quercubus ortæ?
Nymphæ etenim gaudẽt, dũ quercus educat imber,
Lugent dum quercus foliorum amisit honorem.
His, vtero latitans grauiter commotus Apollo
Talia prædicit, minitans non irrita Thebis:
Thebæ quid infelix tua proxima funera quaris?

Inuitum

Inuitum tibi ne me oracula pandere cogas.
Nam neque adhuc sedes curæ est mihi Delphica, Pytho
Necdum etiam cecidit; sed adhuc fera bellua Plisto
Prorepens, ter trinis Parnassum orbibus ambit.
Interea tamen hoc, quàm è lauro certius audi:
Quantumuis fugias, properè te consequar, in te
Tincturus mea tela. habeas tu pignora matris
Blasphemæ; haud ego te nutricem, aut esse Citheron
Opto mihi; puri ex puris mea numina curent.
Dixit: Diua simul retro vestigia vertit.
Vrbibus ergo dea exclusam vt se vidit Achiuis,
Et chara Neptuno Helice Buráque repulsam;
Thessaliam, Oeniadæ stabulum non aspera bubus
Quæ dederat, repetit. Venientem fugit Anaurus
Et Larissa ingens; iuga mox Chironia, & ipse
Penëus labens tacitus per Thessala Tempe.
Effera sed nondum potuit mitescere Iuno,
Nec miserata deam est: duplices quando anxia palmas
Protendës, vacuas nequicquam hæc fudit in auras:
Nymphæ Thessalides fluuio ortæ, dicite patri
Vt rapidos sistat fluctus, apprendite barbam
Orantes, sinat his vndis Iouis edere natos.
Cur Penæ libet celeri contendere vento?
Haud tibi nunc curæ est cursus certamen equestris.
Anne adeò es semper pedibus celer? an mage solam
Me propter properas hodie, plantásque repentè

Accin-

Μήπω μή μ' ἀένθητα βιάζεο μαντεύεσθαι.
Οὔπω μοι Πυθῶνι μέλει τρηποδήϊος ἕδρη,
Οὐδέ κ' πω τέθνηκεν ὄφις μέγας· ἀλλ' ἔτι κεῖνο
Θηρίον αἰνογένειον ἀπ' Πλειστοῖο καθέρπον
Παρνησὸν νιφόεντα θοῖσι ἔφεται σὺν ἕκ κύκλοις.
Ἀλλ' ἔμπης ἐρέω τί θεμώτερον ἢ ἀπὸ δάφνης.
Φεῦγε πρόσω· θαρσύνος σε κιχήσομαι, αἶμα πι λέσσων
Τόξον ἐμόν. σὺ δ' τέκνα κακοξλώσοιο γυναικὸς
Ἔλαχες. ἐ σὺ γ' ἐμεῖο φίλη τροφὸς, ἐδὲ Κιθαιρὼν
Ἐσεται· ἐυσσέων δ' ἐυαγέεσσι μελοίμην.
Ὡς ἄρ' ἔφη. Λητὼ δ' μετάτροπος αὖθις ἐχώρει.
Ἀλλ' ὅτ' Ἀχαιϊάδες μιν ἀπηρήσαντο πόληες
Ἐρχομένην, Ἑλίκη τε Ποσιδάωνος ἐπαίρη,
Βέρά τε, Δεξαμβοῖο βοόσσης Οἰνιάδαο, [ναρος,
Αἶψ δ' ἐπὶ Θεσσαλίην πόδας ἔτρεπε. φεῦγε δ' Ἀ-
Καὶ μεγάλη Λάρισσα, καὶ αἱ Χειρωνίδες ἄκραι·
Φεῦγε δ' καὶ Πηνειὸς ἑλισσόμενος διὰ Τεμπέων.
Ἥρη, σοὶ δ' ἔπι θῆμος ἀνηλεὲς ἦτορ ἔκηδε·
Οὐδὲ κατεκλάσθης τε καὶ ὤκτισας, ἡνίκα πήχεις
Ἀμφοτέρῃς ὀρέγουσα, μάτην ἐφθέγξατο τοῖα,
Νύμφαι Θεσσαλίδες, ποταμοῦ γένος, εἴπατε πατρὶ
Κοιμῆσαι μέγα χεῦμα· θοῶς ἐξαθέ ῥεῖθρα,
Λισσόμενον τὰ Ζηνὸς ὑπ' ὕδατι τέκνα τεκέσθαι.
Πῶλε ἐ Φηῶτα, τί νύ μ' ἀνέρα σιν ἐρίζεις;
Ὦ πάτερ, ἢ μὴν ἵππον ἀέθλιον ἀμφιβέβηκας.
Ἦ ῥά τοι ὧδ' αἰεὶ θαρσύνοι πόδες, ἢ ἐπ' ἐμεῖο
Μένοι ἐλαφρίζεσι; πεποίησαι δ' πέτεσθαι

Σήμερον ἐξαπίνης; ὁδ' ἀνήκοος. ὦ ἐμὸν ἄχθος,
Ποῖ σε φέρω; μέλεοι γὰρ ἀπειρήκασι τένοντες.
Πήλιον ὦ Φιλύρης νυμφήιον, ἀλλὰ σὺ μεῖνον·
Μεῖνον, ἐπεὶ καὶ θῆρες ἐν οὔρεσι πολλάκι σεῖο
Ὠμοτόκους ὠδῖνας ἀπηρείσαντο λέαιναι.
Τὴν δ' ἄρα καὶ Πηνειὸς ἀμείβετο δάκρυα λείβων,
Λητοῖ, Αναγκαίη, μεγάλη θεός· οὐ γὰρ ἔγωγε
Πότνια σὰς ὠδῖνας ἀναίνομαι· οἶδα καὶ ἄλλας
Λουσαμένας ἀπ' ἐμεῖο λεχωΐδας. ἀλλά μοι Ηρη
Δαψιλὲς ἠπείλησεν. ἀπαύγασαι οἷος ἔφεδρος
Οὔρεος ἐξ ὑπάτου σκοπιὴν ἔχει, ὅς κέ με ῥεῖα
Βυσσόθεν ἐξερύσειε. τί μήσομαι; ἢ ἀπολέσθαι
Ηδύτι τοι Πηνειόν, ἴτω πεπραμένον ἦμαρ.
Τλήσομαι εἵνεκα σεῖο, καὶ εἰ μέλλοιμι ῥοάων
Διψαλέην ἄμπωτιν ἔχων ἀιώνιον ἔρρειν,
Καὶ μόνος ἐν ποταμοῖσιν ἀτιμότατος καλέεσθαι.
Ηνὶ δ' ἐγώ· τί περισσά; κάλει μόνον Εἰλήθυιαν·
Εἶπε, καὶ ἠρώησε μέγαν ῥόον. ἀλλὰ οἱ Αρης
Παγγαίου προθέλυμνα καρήατα μέλλεν ἀείρας
Εμβαλέειν δίνῃσιν, ἀποκρύψειν δὲ ῥέεθρα.
Υψόθε δ' ἐσμαράγησε, καὶ ἀσπίδα τύψεν ἀκωκῇ
Δούρατος· ἡ δ' ἐλέλιξεν ἐνόπλιον· ἔτρεμε δ' Οσσης
Οὔρεα, καὶ πεδίον Κρανώνιον, αἵ τε δυσαεῖς
Εσχατιαὶ Πίνδοιο· φόβῳ δ' ἀρχήσατο πᾶσα
Θεσσαλίη· τοῖος γὰρ ἀπ' ἀσπίδος ἔβραχεν ἦχος.
Ως δ' ὁπότ' Αἰτναίου ὄρεος πυρὶ τυφομένοιο
Σείονται μυχὰ πάντα, κατουδαίοιο γίγαντος

Εἰς

Accinxisti alis? Tacet ille. O pondus amicum
Quô fero te? iam neruorum vis concidit omnis.
Tu modo qua thalamus Philyræ es Chironia rupes
Sistito sistito te. neque enim vice simplice fœtus
Immanes in monte tuo posuêre leænæ.
Penëus contra lachrymis ita fatur obortis:
Magna dea es fatũ, Latona; Haud nanque recuso
Fœtum diua tuum excipere; vt non vna fluentis
Hisce suos partus enixa puerpera lauit:
At me saua minis Iuno perterret acerbis.
En, Mars vt specula montis consederit alti; [go?
Funditus huic facile est me euertere. quid faciã er-
Si te damna iuuant Penëi; en me offero fatis;
Te propter patiar; vacuus licet alueus vndis
Fiat, & æternum fluuios inglorius inter [adsit.
Vnus agam. En me; quid reliqui est? Lucina modò
Dixit, & extemplo rapidam compescuit vndam.
Sed Mars Pangæi in præceps fastigia montis
Mittere molitur, fluuiumq; opplere ruina.
Increpuitq; altùm, & ferratæ verbere ab hastæ
Dat scutũ sonitũ horrendũ. tremor occupat Ossam,
Et Cranonis agrum, & Pindi iuga peruia ventis,
Totaq; Thessalia est subito concussa pauore.
Tantus erat fragor, atque icti violentia scuti.
Ac veluti Ætnæi montis spirantia flammas
Omnia sese agitant subter, turbantur & antra,
Cùm latus affixus terræ radicibus imis

Immanis mutat Briareus: fremitumq; camini
Dant Vulcani intus versati forcipe, & ipsa
Inter se tripodum vis & collisa lebetum:
Tantus erat scuti fremitus resonantis & horror.
Penëum nihil hæc terrent; sed firmus vt antè
Immotusq; manens cursum compescit aquarum.
Donec ei inclamans Latona his vocibus vsa est:
Eripe te Penæ, malisque elabere saluus,
Ne pietas impensa mihi, tibi damna ministret.
Nec metus interea, officio ne gratia desit.
Sic ait; ingentique exercita diua labore
In loca cincta mari, & firma tellure remota
Deuenit, hospitiumq; ægræ dare cuncta recusant.
Non illam portu dignantur Echinades, ipsa
Nec Corcyra aliis longè magis hospita tellus.
Nanque infesta Iris celso subnixa Mimante
Omnibus arcebat terris, grauiterque minatam
Pro se quisque timet, ne quam deprendat in vndis.
Hinc antiquâ Coum petitur diua insula, quondam
Chalciopes celebris sacrato hèroidis antro.
Sed vetat his verbis Natus: Ne hîc me edito mater;
Non quòd fortè mihi hæc inuisa sit insula; quippe
Præ reliquis felix prædiuitis vbere glebæ:
Sed deus huic alius, diuorum clara propago
Debetur fatis; cuius se subdere sceptris
Non inuita volent media quæ vtrinque remotæ
Telluris regione iacent, aut æquore regna,
Qua Sol Oceano surgit, seseve recondit.

Εἰς ἑτέρην Βριαρῆος ἐπωμίδα κινυμένοιο,
Θερμαΰστραί τε βρέμουσιν ὑφ' Ἡφαίστοιο πυράγρης,
Εργάθ' ὁμοῦ, δεινὸν δὲ πυρίκμητοί τε λέβητες
Καὶ τρίποδες πίπτοντες ἐπ' ἀλλήλοις ἰαχεῦσι·
Τῆμος ἔγεντ' ἄραβος σάκεος τόσος εὐκύκλοιο.
Πηνειὸς δ' οὐκ αὖθις ἐχάζετο, μίμνε δ' ὁμοίως
Καρτερὸς ὡς ταπρῶτα. θοὰς δ' ἐστήσατο δίνας,
Εἰσόκε οἱ Κοικηὶς ἐκέκλετο, Σώζεο χαίρων,
Σώζεο· μὴ σύγ' ἐμεῖο πάθῃς κακὸν εἵνεκα, τῆ δὲ
Αντ' ἐλεημοσύνης. χάριτος δέ τοι ἔσσετ' ἀμοιβή.
Η, καὶ πολλὰ πάροιθεν ἐπεὶ κάμεν, ἔστιχε νήσους
Εἰναλίας· αἱ δ' οὔ μιν ἐπερχομένην ἐδέχοντο,
Οὐ λιπαρὸν νήεσσιν Εχινάδες ὅρμον ἔχουσαι,
Οὐδ' ἥτις Κέρκυρα φιλοξεινωτάτη ἄλλων.
Ιρις ἐπεὶ πάσῃσιν ἐφ' ὑψηλοῖο Μίμαντος [κλῆς
Σπερχομένη μάλα πολλὸν ἀπέτραπεν. αἱ δ' ὑφ' ὁμο-
Πασσυδίη φοβέοντο κατὰ ῥόον ἥντινα τέτμοι.
Ωγυγίην δ' ἤπειτα Κόων Μεροπηΐδα νῆσον
Ικετο, Χαλκιόπης ἱερὸν μυχὸν ἡρωΐνης.
Αλλά ἑ παιδὸς ἔρυκεν ἔπος τόδε, Μὴ σύ γε μῆτερ
Τῇ με τέκοις. οὔτ' οὖν ἐπιμέμφομαι οὐδὲ μεγαίρω
Νῆσον, ἐπεὶ λιπαρή τε καὶ εὔβοτος, εἰ νύ τις ἄλλη·
Αλλὰ οἱ ἐκ μοιρέων τὶς ὀφειλόμενος θεὸς ἄλλος
Εστὶ, σαωτήρων ὕπατον γένος· ᾧ ὑπὸ μίτρην
Ιξεται οὐκ ἀέκουσα Μακηδόνι κοιρανέεσθαι,
Αμφοτέρη μεσόγεια, καὶ αἳ πελάγεσσι κάθηται·
Μέχρις ὅπου περάτη τε καὶ ὁππόθεν ὠκέες ἵπποι

Ηέλιον φορέουσιν. ὁ δ' εἴσεται ἤθεα πατρὸς.
Καὶ νύ ποτε ξυνός τις ἐλεύσεται ἄμμιν ἄεθλος
Υστατον, ὁππότ' ἂν οἱ μὲν ἐφ' Ελλήνεσσι μάχαιραν
Βαρβαρικὴν καὶ Κελτὸν ἀναστήσαντες ἄρηα,
Οψιγόνοι τιτῆνες ἀφ' ἑσπέρου ἐσχατόωντος
Ρώσωνται, νιφάδεσσιν ἐοικότες, ἢ ἰσάριθμοι
Τείρεσιν, ἡνίκα πλεῖστα κατ' ἠέρα βουκολέονται·
Φρούρια καὶ κῶμαι Λοκρῶν, καὶ Δελφίδες ἄκραι,
Καὶ πεδία Κρισσαῖα, καὶ ἠπείροιο πόληες
Αμφιπεριστείνωνται. ἴδωσι δὲ πίονα καρπὸν
Γείτονος αἰθομένοιο· καὶ οὐκέτι μοῦνον ἀκουῇ,
Αλλ' ἤδη περὶ νηὸν ἀπαυγάζοιντο φάλαγγες
Δυσμενέων· ἤδη δὲ παρὰ τριπόδεσσιν ἐμεῖο
Φάσγανα καὶ ζωστῆρας ἀναιδέας, ἐχθομένας τε
Ασπίδας, αἳ Γαλάτῃσι κακὴν ὁδὸν ἄφρονι φύλῳ
Στήσονται· τέων αἱ μὲν ἐμοὶ γέρας, αἱ δ' ἐπὶ Νείλῳ
Εν πυρὶ τοὺς φορέοντας ἀποπνεύσαντας ἰδοῦσαι,
Κείσονται, βασιλῆος ἀέθλια πολλὰ καμόντος
Εσσόμεναι· Πτολεμαῖε, τάτοι μαντήια φαίνω.
Αἰνήσεις μέγα δή τι τὸ εἰσέτι γαστέρι μάντιν
Υστερον ἤματα πάντα· σὺ δὲ ξυμβάλλευ μῆτερ.
Εστι διειδομένη τίς ἐν ὕδασι νῆσος ἀραιὴ,
Πλαζομένη πελάγεσσι· πόδες δέ οἱ οὐχ ἑνὶ χώρῳ,
Αλλὰ παλιρροίῃ ἐπινήχεται, ἀνθέρικος ὥς·
Ενθανότος, ἔνθ' εὖρος, ὅπη φορέῃσι θάλασσα·

Τῇ με

Consilia hic magni noscet, mentemq; parentis.
Tempus erit quando & iunctis bellabimus armis,
Cùm Celtæ in Graios diris Titanibus orti
Barbaricos enses stringent, martemq; ciebunt;
Agminaq; occasu multæ niuis instar ab imo
Densa ruent, numeroq; astris æqualia, quando
Plurima cæruleo splendentia in æthere oberrant.
At Locrorum arces, vici, iugæ Delphica, & agri
Crissæi, firmaq; vrbes tellure iacentes
Circumquaque gement, & dira incendia ruris
Finitimi cernent, segetes abolentia latas.
Nec rumor tantum hic aures percellet inanis;
Sed iam circunstant densæ mea templa phalanges,
Hostitus en tripodas premit ensis, & horrida scuta,
Infelix iter heu demens tibi Galle daturæ.
Nanque alia, in sacrata mihi donaria cedent,
Pars dominos visura suos suo igne crematos
Exhalare animam, prope Nilum sparsa iacebunt
Præmia regalis non iniucunda laboris.
Hæc Ptolemæe tibi haud incerta oracula pando;
Laudabisq; olim vatem nondum editum in auras.
Tu verò genitrix corde hæc mea dicta repone:
Conspicua Ægæo exilis iacet insula, summis
Errabunda vndis; neque enim vestigia certo
Hærent firma loco; vasto at circunflua ponto
Innatat albuco similis, quem proripit vrgens
Hinc Notus, hinc Eurus, rapidive potētia fluctus.

Huc propera; nec enim tristem patiere repulsam.
Dixerat, & cuncta pelagi fugêre repentè
Insula: at Asteriæ Euboicis elapsa fluentis
Cycladibus cinctam veteri te haud more videbas.
Ponè sequebatur sed adhuc densa alga Geræsti.
Iamq; harum in medio stabas; miseratáq; diuam
Exussisti algam. validus nam te ardor habebat,
Cernentem sauis diuam cruciatibus ictam.
Quidquid Iuno libet statuas; iam nulla minarum
Cura mihi est; Latona veni atque appellito felix
Dixisti. à longo simul illa errore quiescens
Sedit ad Inopum, quo non profundior alter
Est terris fluuius, pleno cùm turgidus alueo
Æthiopum præceps fertur de vertice Nilus.
Hîc soluit zonam, ad viridis dea pressa dolore
Palmæ truncum humeris annixa. it corpore toto
Sudor; at illa ægro ducens suspiria corde;
Quid matrem torques infans, ait: En tibi coram
Insula quam memoras vasto circunflua ponto.
Nascere chare infans, placideq; elabere ventre.
At non sæua Iouis coniux dudum insscia partus
Mansisti; talis properè tibi nuntia venit
Iris anhela (metum trepidantia verba notabant)
Iuno, aiens, veneranda, dearum maxima longè,
Sum tua, sunt tua cuncta. at tu sublimis Olympi
Sceptra tenes; alia est nobis non vlla timori
Dextera fœminea. ast iram quid mouerit audi.

Insula

Τῇ με φέροις. κείνην γὰρ ἐλεύσεαι εἰς ἐθέλουσαν.
Αἱ μὲν τόσσα λέγοντος ἀπέτρεχον εἰν ἁλὶ νῆσοι.
Αστερίη φιλόμολπε, σὺ δ' Εὐβοίηθε κατῄεις
Κυκλάδας ὀψομένη περιηγέας, οὔτι παλαιόν·
Αλλ' ἔτι τοι μετόπισθε Γεραίστιον εἵπετο φῦκος
Εστης δ' ἐν μέσσῃσι, κατοικτείρασα δὲ Λητὼ,
Φῦκος ἅπαν κατέφλεξας· ἐπεὶ περικαίεο πυρὶ,
Τλήμον' ὑπ' ὀδίνεσσι βαρυνομένην ὁρόωσα.
Ηρη τοῦτό με ῥέξον ὅ, τοι φίλον. οὐ γὰρ ἀπειλὰς
Υμετέρας ἐφύλαξα· πέρα πέρα εἰς ἐμέ Λητοῖ.
Εννεπες. ἡ δ' ἄῤῥητον ἄλης ἀπεπαύσατο λυγρῆς·
Ιζετο δ' Ινωποῖο παρὰ ῥόον, ὅντε βάθιστον
Γαῖα τότ' ἐξανίησιν ὅτε πλήθοντι ῥεέθρῳ
Νεῖλος ἀπὸ κρημνοῖο κατέρχεται Αἰθιοπῆος.
Λύσατο δὲ ζώνην, ἀπὸ δ' ἐκλίθη ἔμπαλιν ὤμοις
Φοίνικος ποτὶ πρέμνον, ἀμηχανίης ὑπὸ λυγρῆς
Τειρομένη· νότιος δὲ διὰ χροὸς ἔῤῥεεν ἱδρώς.
Εἶπε δ' ἀλυσθμαίνουσα, Τί μητέρα κοῦρε βαρύνεις;
Αὕτη τοι φίλε νῆσος ἐπιπλώουσα θαλάσσῃ.
Γείνεο γείνεο κοῦρε, καὶ ἤπιος ἔξιθι κόλπου.
Νύμφα Διὸς βαρύθυμε, σὺ δ' οὐκ ἄρ' ἔμελλες ἄπυστος
Δὴν ἔμεναι· τοίη σε προσέδραμεν ἀγγελιῶτις. [θος)
Εἶπε δ' ἔτ' ἀσθμαίνουσα, (φόβῳ δ' ἀνεμίσγετο μῦ-
Ηρη τιμήεσσα, πολὺ προὔχουσα θεάων.
Σὴ μὲν ἐγὼ, σὰ δὲ πάντα· σὺ δὲ κρείουσα κάθησαι
Γνησίη οὐλύμποιο· καὶ οὐ χέρα δείδιμεν ἄλλην
Θηλυτέρην. σὺ δ' ἄνασσα τὸν αἴτιον εἴσεαι ὀργῆς.

Λητώ θ' ἱμείρῃσιν ἀναλύεται ἔνδοθι νήσου.
Ἄλλῃ μὲν πᾶσιν μιν ἀπέσυρεν, ἀδὲ ἐδέχοντο·
Ἀστερίη δ' ὀνομαστὶ παρερχομένῳ ὑπάλεσεν,
Ἀστερίη πόντοιο κακὸν σάρον· οἶδα δ' αὐτή.
Ἀλλά φίλη (δύναται γὰρ) ἀμύνεν πότνια δήλοις
Ὑμετέρῃς, οἱ σεῖο πέδον πατέουσιν ἐφετμῇ.
Ἦ, καὶ ὑπὸ χρύσεον ἐδέθλιον ἷξε· κύανε ὼς
Ἀρτέμιδος, ἥτίς τε θοῆς ὅτε παύσεται ἄγρης,
Ἴζει ἐπηρήτῃρα πιφ' ἵππεσιν· οὔατα δ' αὐτῆς
Ὀρθὰ μάλ', αἰὲν ἐτοῖμα θεῆς ὑπὸ δέχθαι ὁμωκλήν.
Τὴν ἐκέλη Θαύμαντος ὑπὸ θρόνον ἷζετο κούρη.
Κείνη δ' ἐδέποτε σφετέρης ἐπιλήθεται ἕδρης,
Οὐδ' ὅτε οἱ λῃθαῖον ἐπὶ πλεῖον ὑπὸ ἐρεισῇ.
Ἀλλ' αὐτῷ μεγάλοιο ποτὶ γλωχῖνα θρόνοιο
Τυτθὸν ἀποκλίνασα κάρηατι, λέχριος ἕυδει.
Οὐδέποτε ζώνῃσι ἀναλύεται, ἀδὲ παρείας
Ἐνδρομίδας· μή οἱ τι ἐπ' ἀμφιδίου ἔπος εἴπῃ
Δειροπός. ἡ δ' ἀλεγεινὸν ἀλασήσουσι μεθυσθᾶ,
Οὕτω νῦν ὦ Ζηνὸς ὀνείδεα καὶ μεμέσθε
Λάθρια, ἐπ τίκτοντε κεκρυμμένα· μηδ' ὄφι δηλᾶ
Δυστοκέες μογέουσιν ἀλεξίδες, ἀλλ' ἄφαρ ὦκαι
Εἰνάλιαι τίκτουσιν σὺν παιλάδεσσιν ἐρίμυιες.
Ἀστερίῃ δ' ἀδέν τι βαρύνομαι εἵνεκα τῆσδε
Ἀμπλακίης, ἀδ' ἔσιν ὅπως ἀποθύμια ῥέξω
Τοσσάδε οἱ. μάλα γάρ τε κακῶς ἐχαρίσσατο Λητοῖ.
Ἀλλά μιν ἔκπαγλόν τι σεβίζομαι, ὕνεκ' ἐμεῖο
Δέμνιον οὐκ ἐπάτησε, Διὸς δ' ἀνθείλετο πόντον.

Ἦ μὲν

Insula Latonæ partum exceptura reperta est.
Nanque aliæ fugêre omnes, & nulla recepit;
Nomine at Asteriem compellans, sponte vocauit.
Asterie, vt nosti, alluuies turpissima ponti.
Adfer opem, vt potis es, vestris Regina ministris,
Qui peragrant latè terras te diua iubente.
Dixit; Iunonisq; throno se subiicit aureo.
Montiuaga qualis catulus redeunte Dianæ
Venatu, diuæ iacet ad vestigia. at illi
Stant arrectæ aures, & iussa capescere promptæ:
Talis se solio assixit Thaumantia proles.
Nec propriæ capit hanc vlla vnquam obliuio sedis,
Non si somnus ei lethæam admouerit alam;
Sed capita extremas solij dum flectit ad oras
Obliquùm dormit. nullo quoq; tempore Zonam, aut
Endromidas soluit; domina ne iussa moretur.
Saucia at ingenti sic Iuno effata dolore est:
Sic vos, probra Iouis, thalami post furta decebat
Furtim etiam eniti; nec vbi pistricibus ægris
Contingit miseros protrudere corpore fœtus:
Sed queis phoca marina atris enititur antris.
Nec quicquam Asteriæ culpam succenseo ob istam,
Nec causa est vt in hanc quicquã statuatur acerbi:
Nanque operam non illa bonam impendisse putanda est
Latonæ; quin laudo, meo quod parcere lecto
Sit dignata, Iouiq; cauum quòd prætulit æquor.

Dixit,

Dixit, Maonioq; statim cygni amne relicto
Septenis vicibus cinxerunt agmine Delum,
Musis grata cohors, suaui modulamine partum
Mulcentes; totidemq; lyra puer illico chordas
Adiunxit, quoties cygni occinuêre dolori.
Octauùm haud cecinêre, vtero cùm prosilit infans,
Lucinaq; sacrum carmen cecinêre frequentes
Deliades nymphæ, prisco de flumine natæ.
Insonuit contrà, & fremitum dedit æneus æther.
Nec Iuno irata est; nam Iuppiter abstulit iram.
Omnia tunc abiêre tibi fundamina in aurum
Dele, lacúmque auro circum lux illa fluentem
Integra conspexit; fructum quoque ramus oliuæ
Protulit auratum; grauis ipse trahebat Inopus
Aurum vndis; túque aurata tellure leuatum
Fouisti gremio puerum; dehinc talibus orsa es:
O quæ mille tenes vrbes, altaria mille
Cuncta ferens tellus, & vos ô pinguia firma
Telluris loca, quæq; ambit circunflua Tethys:
A me, quantumuis sim dura atque aspera cultu,
Dèlius accipiet iam iam cognomen Apollo.
Terráque nulla magis Delo deo amabitur vlli.
Non ita Neptuno Cenchris placitura Lechæo est,
Non ita Mercurio vicus Cyllenius, ipsi aut
Creta Ioui, nec iam dubiis circunferar vndis.
Talia dum memoras, dulci puer vbere pendet.
Hinc & præ reliquis sancta insula, alumnaq; Phœbi
Diceris:

Η μὲν ἔφη. κύκνοι δὲ θεοῦ μέλποντες ἀοιδοὶ
Μηόνιον Πακτωλὸν ἐκυκλώσαντο λιπόντες
Εβδομάκις περὶ Δῆλον· ἐπήεισαν δὲ λοχείῃ
Μουσάων ὄρνιθες, ἀοιδότατοι πετεηνῶν.
Ενθεν ὁ παῖς τοσσάς δε λύρῃ ἐνεδήσατο χορδὰς
Υστερον, ὁσσάκι κύκνοι ἐπ' ὠδίνεσσιν ἄεισαν.
Ο[illegible]δον οὐκ ἔτ' ἤεισαν, ὁ δ' ἔκθορεν. αἱ δ' ἐπὶ μακρὸν
Νύμφαι Δηλιάδες, ποταμοῦ γένος ἀρχαίοιο,
Εἶπαν Εληθύιης ἱερὸν μέλος· αὐτίκα δ' αἰθὴρ
Χάλκεος ἀντήχησε διαπρυσίην ὀλολυγήν.
Οὐδ' Ηρη νεμέσησεν, ἐπεὶ χόλον ἐξέλετο Ζεύς.
Χρύσεά τοι τότε πάντα θεμείλια γείνετο Δῆλε·
Χρυσῷ δὲ τροχόεσσα πανήμερος ἔρρεε λίμνη,
Χρύσειον δ' ἐκόμισσε γενέθλιον ἔρνος ἐλαίης.
Χρυσῷ δὲ πλήμμυρε βαθὺς Ινωπὸς ἑλιχθείς.
Αὐτὴ δὲ χρυσέοιο ἀπ' οὔδεος εἵλεο παῖδα,
Εν δ' ἐβάλου κόλποισιν· ἔπος δ' ἐφθέγξαο τοῖον,
Ω μεγάλ', ὦ πολύβωμε, πολύπτολι, πολλὰ φέρουσι,
Πίονες ἠπειροί τε, καὶ αἱ περιναίετε νῆσοι,
Αὐτὴ ἐγὼ τοιήδε δυσήροτος· ἀλλ' ἀπ' ἐμεῖο
Δήλιος Απόλλων κεκλήσεται. οὐδέ τις ἄλλη
Γαιάων τοσσόνδε θεῷ πεφιλήσεται ἄλλῳ·
Οὐ Κερχνὶς κρείοντι Ποσειδάωνι Λεχαίῳ,
Οὐ πάγος Ερμείῃ Κυλλήνιος, οὐ Διΐ Κρήτη,
Ως ἐγὼ Απόλλωνι· καὶ ἔσσομαι οὐκ ἔτι πλα[illegible]κτή.
Ωδε σὺ μὲν κατέλεξας· ὁ δὲ γλυκὺν ἔσπασε μαζόν.
Τῷ καὶ νησάων ἁγιωτάτη ἐξέτι κείνου

Κλήζη,

Κλήζω, Απόλλωνα κερτόφα· ἐδέσ' Ενυὼ,
Οὐδ' Αΐδης, ἐδ' ἵπποι ἐπισείβεσιν Αρηϊ.
Αλλά τοι ἀμφιετεῖς δεκατηφόροι ἀίεν ἀπειρχαὶ
Πέμπονται. πᾶσαι δ' χορεὺς ἀνάγεσι πόληες,
Αἵ τε πρὸς ἠοίην, αἵ δ' ἕσπερον, αἵ τ' ἀνὰ μέσσην
Κλήρους ἐσήσαντ'· ἐν οἱ καθύπερθε βορείης
Οἰκία δῖνος ἔχεσι, πολυχρονιώτατον αἶμα.
Οἱ μέν τοι καλάμην τε καὶ ἱερὰ δράγματα πρῶτοι
Ασσυρίων φορέεσιν· ἃ Δωδώνηθε Πελασγοὶ
Τηλόθεν ἀμβαίνοντα πολὺ πρώτιστα δέχονται
Γηλεχέες θεράποντες ἀσιγήτοιο λέβητος.
Δεύτερον, ἱερὸν ἄγος καὶ οὔρεα Μηλίδος αἴης
Ερχονται· κεῖθεν δὲ διαπρὸ ἄεσιν Αβάντων
Εἰς ἀγαθὸν πεδίον Δηλάντιον. οὐδ' ἔπι μακρὸς
Οπλόεις Εὐβοίηθεν ἐπὶ στομίσσιες ὅρμοι.
Πρῶται δὲ τάδ' ἔνεικαν ἀπὸ ξανθῶν Αεμναστῶν
Οὖπίς τε Λοξώ τε Ἑκαέργη,
Θυγατέρες Βορέαο, καὶ ἄρσενες οἱ τότ' ἄρισοι
Ηϊθέων. ἐδ' οἵγε παλιμπετὲς οἶκαδ' ἵκοντο·
Εὔμοιροι δ' ἐγένοντο καὶ ἀκλέες οὔποτ' ἐόντες.
Ητοι Δηλιάδες μὲν, ὅτ' εὐήχεις ὑμέναιοι
Ηδέα κεραῦνα μορμύσσεται, ἤλικα χαίτῃ
Παρθενικῇ, παῖδες δὲ πατὴρ τὸ πρῶτον ἰάλλει
Αρσενες ἡβάοισιν ἅπ' ἀρχόμενοι φορέεσιν.
Αστερίη θυέεσσα, σὲ μὲν πρὸ τ' ἀμφί τε νῆσοι
Κύκλαι ἐποιήσαντο, καὶ ὡς χορὸν ἀμφιβάλοντο,
Οὔτε σιωπαλίην, ὅτ' ἄψοφον αὐλὸν ἐθείρας

Εσπερ.

Diceris: ergo ferox nunquam te infestat Enyo,
Horrisoni non Martis equi, Plutóve frequentat.
Sed tibi primitias mittent decimasq́, quotannis,
Festiuas ducent tibi & oppida cuncta choreas,
Quæ spectant ortũ atque obitum, medioq́; locatæ.
Quique suas vltra Borealia littora sedes
Fixerunt, longum gens viuere sueta per ævum.
Nanque illi calamos primi sacrosque maniplos
Spicarum apportant, quos è Dodone Pelasgi
Egressos procul excipiunt, gens docta cubare [betis.
Nuda in humo, streperi & quibus est data cura le-
Inde citi montes, & sacram Melidis vrbem
Perueniunt; hinc in Lelantia pinguia Abantum
Traiiciunt rura; huc non longus ab æquore fertur
Cursus ab Eubœa: prope nanque est cernere portus.
Hæc tibi de flauis apportauêre Arimaspis
Primum vpis, Loxoq́, & florens ævo Hecaêrge
Tres natæ Boreæ; iunctus his masculus vnà
Flos iuuenum. ad patrios hi non redière penates.
Felices, decus æterno cum nomine adepti.
Nam dum virginibus terrori Hymenæe sonores,
Primitias crinem æquævum de more puellæ
Deliades soluunt illis. at mascula turba
Dedicat è primæ maribus lanugine messem.
Diuina Asterie, te circum plurimæ in orbem
Insulæ eunt, densáque velut cinxêre choreæ,
Non cantus plausúsve inopem. Te splẽdidus Hesper

Perpe-

Perpetuo festiuam ex alto spectat olympo.
Pars Lyciy suaues modulos senis occinit, Olen
Quos vates tulit à Xanthi, vt fert fama, fluentis.
Pars firmam pede pulsat humum non tarda salaci.
Tunc etiam antiquæ simulachrum Cypridis ingens
Innumeris onerant sertis: quod Theseus olim
Cùm puerus statuit rediens Curetide terra.
Qui cùm mugitum fugerent, taurúmque ferocem
Pasiphaæ, & tortas curui ambages labyrinthi,
Ad citharæ pulsum tua circum altaria, diua,
Theseo præeunte sacras duxêre choreas.
Hinc Phœbo æternùm mansura Theoridis huius
Cecropidæ mittunt Theseæ carbasa nauis.
Asterie felix aris, quis nauita puppe
Institor Ægæo te præteruectus in alto est?
Non adeò violenti aspirant carbasa venti
Accelerare licet res postulet: omnia sed mox
Vela legunt portu: sed nec prius inde recedunt
Quàm tua raptentur percussa altaria circum,
Atque oleæ ramum mordaci dente lacessant,
In tergum manibus iactis. hoc Delia ludo
Gaudia Nympha solet puero risúmque ciêre.
Insula saluето tutissima Cycladas inter,
Tuq; etiam Phœbe, & Latona puerpera salue.

CAL-

Εσπερος ἀλλ' ἀιεί σε καταβλέπει ἀμφιβόητον.
Οἱ μὲν ὑπαείδουσι νόμον Λυκίοιο γέροντος,
Ον τοι ἀπὸ Ξάνθοιο θεοπρόπος ἤγαγεν Ωλήν·
Αἱ δὲ ποδὶ πλήσσουσι χορήτιδες ἀσφαλὲς οὖδας.
Δὴ τότε καὶ στεφάνοισι βαρύνεται ἱρὸν ἄγαλμα
Κύπριδος ἀρχαίης ἀριήκοον· ἣν ποτε Θησεὺς
Εἵσατο σὺν παίδεσσιν, ὅτε Κρήτηθεν ἀνέπλει·
Οἳ χαλεπὸν μύκημα καὶ ἄγριον ἦα φυγόντες
Πασιφάης, καὶ γναμπτὸν ἕδος σκολιοῦ λαβυρίνθου,
Πότνια σὸν περὶ βωμὸν ἐγειρομένου κιθαρισμοῦ
Κύκλιον ὠρχήσαντο· χοροῦ δ' ἡγήσατο Θησεύς.
Ενθεν ἀειζώοντα θεωρίδος ἱερὰ Φοίβῳ
Κεκροπίδαι πέμπουσι τοπήϊα νηὸς ἐκείνης.
Αστερίη πολύβωμε, πολύλλιτε, τίς δέ σε ναύτης
Εμπορος Αἰγαίοιο παρήλυθε νηὶ θεούσῃ;
Οὐχ οὕτω μεγάλοι μιν ἐπιπνείουσιν ἀῆται,
Χρειὼ δ' ὁττιτάχιστον ἄγει πλόον· ἀλλὰ τὰ λαίφη
Ωκέες ἐστείλαντο, καὶ οὐ πάλιν αὖθις ἔβησαν
Πρὶν μέγαν ἢ σέο βωμὸν ὑπὸ πληγῆσιν ἑλίξαι
Ρησσόμενον, καὶ πρέμνον ὀδακτάσαι ἁγνὸν ἐλαίης,
Χεῖρας ἀποστρέψαντας. ἃ Δηλιὰς εὕρετο νύμφη
Παίγνια κουρίζοντι καὶ Απόλλωνι γελαστύν.
Ιστίη ὦ νήσων, εὐέστιε, χαῖρε μὲν αὐτὴ,
Χαίροι δ' Απόλλων τε καὶ ἣν ἐλοχεύσατο Λητώ.

ΚΑΛΛΙΜΑΧΟΥ ΥΜΝΟΣ ΕΙΣ ΛΟΥΤΡΑ ΤΗΣ ΠΑΛΛΑΔΟΣ.



ΟΣΣΑΙ λώτροχόοι τᾶς Παλλάδος, ἔξιτε πᾶσαι,
Ἔξιτε. τᾶν ἵππων ἄρτι φρυασσομέναν
Τᾶν ἱερᾶν ἐσάκουσα, καὶ ἁθεὸς ἔυτυκος ἕρπει·
Σοῦσθέ νυν ὦ ξανθαὶ, σοῦσθε Πελασγιάδες.
Οὔ ποκ' Ἀθαναία μεγάλως ἀπενίψατο πάχεις
Πρὶν κόνιν ἱππείαν ἐξελάσαι λαγόνων.
Οὐδ' ὅκα δὴ λύθρῳ πεπαλαγμένα πάντα φέροισα
Τεύχεα τῶν ἀδίκων ἦνθ' ἀπὸ γηγενέων.
Ἀλλὰ πολὺ πράτιστον ὑφ' ἅρματος αὐχένας ἵππων
Λυσσαμένα, παγαῖς ἔκλυσεν Ὠκεανῶ
Ἱδρῶ καὶ ῥαθάμιγγας· ἐφοίβασεν ἢ παγέντα
Πάντα χαλινοφάγων ἀφρὸν ἀπὸ στομάτων.
Ὦ ἴτ' Ἀχαιϊάδες· καὶ μὴ μύρα μηδ' ἀλαβάστρως·
(Συρίγγων ἀΐω φθόγγον ὑπαξονίων)
Μὴ μύρα λωτροχόοι τᾷ Παλλάδι, μηδ' ἀλαβάστρως
(Οὐ γὰρ Ἀθαναία χρίματα μικτὰ φιλεῖ)
Οἴσετε· μηδὲ κάτοπτρον. ἀεὶ καλὸν ὄμματο τήνας.
Οὐδ' ὅκα τὰν Ἰδαν Φρὺξ ἐδίκαζεν ἔριν,

Οὐδ'

CALLIMACHI HYMNVS IN PALLADIS LAVACRA.

ITE foras agedum quacunque liquentibus vndis
Membra lauatura Pallados; ite foras.
Ipsa venit: fremitus sacrorum audimus equorum:
Ite agedum flaua, ô, ite Pelasgiades.
Non prius ingentes lauit sibi diua lacertos
Ilia quàm absterſit puluere cornipedum:
Nec tum quando armis multa iam cæde cruentis
Venit ab iniustis horrida Terrigenis.
Tum quoque equûm subducta iugis fumantia colla
Perfudit largi fontibus Oceani,
Dum sudor, guttaq; putres, dumq; omnis abiret
Spuma oris circum mansa lupata rigens.
Ite ô Achiua. Sed non vnguenta aut alabastros,
(Audio certè ipsum stridulum ab axe sonum)
Palladi lotrices non vnguenta aut alabastros
(Nulla etenim diua huic vnguina mista placet)
Ferte: nec huic speculum. vultu est pulcherrima semper.
Nam nec in Ida olim, iudice sub Phrygio,

Se vel orichalco magna hæc dea, vel Simoëntis
Spectauit quanquam vortice perſpicuo.
Nec Iuno; ſed ſola venus ſe ſplendido in ære
Vidit, eandem iterum diſpoſuit q3 comam.
Bis ſexaginta ſpatiis verum incita curſu,
Stellæ apud Eurotam ceu Lacedæmoniæ,
Perfricuit tantùm pingui ſe diua liquore
De baccis arbor quem ſua protulerat.
O pueræ, emicuit rubor ilico, matutina
Quem roſa, quem grano Punica mala ferunt.
Ergo marẽ nunc tantũ olei quoque ferte liquorem,
Quo ſe vngit Caſtor, quo Amphitryoniades.
Ferte etiam ſolido ex auro, quo pectine crines
Explicet, & pinguem cæſariem dirimat.
Exi age iam ô Pallas. præſtò tibi virgineus grex,
Nate magnorum charus Aceſtoridûm.
O Pallas, quin iam clypeus Diomedis & ipſe
Fertur, vt Argiuûm mos vetus obtinuit.
Eumedes docuit, meditanstibi grata ſacerdos,
Cùm in ſe compoſito cerneret interitu
Ire malam ſortem. fugit quippe ille, tuam q3
Ad montem Crion ſuſtulit effigiem:
Ad montem Crion. tum abruptus impoſuit te
Cautibus, has q3 vocant nunc quoque Pallatidas.
Exi age qua expugnas vrbes, cuique aurea cordi
Caſſis, equûm q3 fremor, cum ſonitu clypeûm.

Vos

Οὐδ' ἐς ὀρείχαλκον μεγάλα θεὸς, οὐδὲ Σιμοῦντος
Εβλεψεν δίναν ἐς διαφαινομέναν.
Οὐδ' Ηρη. Κύπρις ἢ διαυγέα χαλκὸν ἑλοῖσα,
Πολλάκι τὰν αὐτὰν δὶς μετέθηκε κόμαν.
Α ἢ, δὶς ἑξήκοντα διαθρέξασα διαύλως,
Οἷα παρ' Εὐρώτα τοὶ Λακεδαιμόνιοι
Αστέρες, ἐμπεράμως ἐτρίψατο λιτὰ λαβοῖσα
Χρίματα, τᾶς ἰδίας ἔκγονα φυταλιᾶς.
Ω κῶραι, τὸ δ' ἔρευθος ἀνέδραμε πρώϊον, οἵαν
Ηρόδον ἢ σίβδης κόκκος ἔχει χροίαν.
Τῷ καὶ νῦν ἄρσέν τε κομίσσατε μοῦνον ἔλαιον,
Ω Κάστωρ, ᾧ καὶ χρίεται Ηρακλέης·
Οἴσετε καὶ κτένα οἱ πα[χρύσεον, ὡς ἀπὸ χαίταν
Πέξηται, λιπαρὸν σμασαμένα πλόκαμον.
Εξιθ' Αθαναία· πάρα τοι καταθύμιος ἴλα,
Παρθενικαὶ μεγάλων παῖδες Ακεστοριδᾶν.
Ω' θάνα, φέρεται ἢ καὶ ἁ Διομήδεος ἀσπὶς,
Ως ἔθος Αργείων τοῦτο παλαιότερον
Εὐμήδης ἐδίδαξε, τεὶν κεχαρισμένος ἱρεύς·
Ος ποτε βουλευτὸν γνοὺς ἐπὶ οἱ θάνατον
Δᾶμον ἑτοιμάζοντα, φυγᾶ τεὸν ἱρὸν ἄγαλμα
Ωιχετ' ἔχων, Κρεῖον δ' εἰς ὄρος ᾠκίσατο,
Κρεῖον ὄρος· σὲ ἢ δαῖμον ἀπορρώγεσσιν ἔθηκεν
Εν πέτραις, αἷς νῦν οὔνομα Παλλατίδες.
Εξιθ' Αθαναία περσέπτολι, χρυσεοπήληξ,
Ιππων καὶ σακέων ἁδομένα πατάγῳ.

Σάμερὸν ὑδροφόροι μὴ βάπτετε· σάμερον Αργος
Πίνετ' ἀπὸ κρανᾶν, μηδ' ἀπὸ τῶν ποταμῶν.
Σάμερον ὦ δῶλαι τὰς κάλπιδας ἢ 'ς Φυσάδειαν
Η ἐς Αμυμώνην οἴσετε τὰν Δαναῶ.
Καὶ γὰρ δὴ χρυσῶ τε καὶ ἄνθεσιν ὕδατα μίξας
Ηξεῖ φορβαίων Ιναχος ἐξ ὀρέων,
Τᾷ 'θάνᾳ τὸ λοετρὸν ἄγων καλόν. ἀλλὰ Πελασγέ
Φράζεο μ' οὐκ ἐθέλων τὰν βασίλειαν ἴδῃς.
Ος κεν ἴδῃ γυμνὰν τὰν Παλλάδα τὰν πολιοῦχον,
Τῶργος ἐσοψεῖται τοῦτο πανυστάτιον.
Πότνι' Αθαναία, σὺ μὲν ἔξιθι· μέσφα δ' ἐγώ τι
Ταῖς δ' ἐρέω. μῦθος δ' οὐκ ἐμὸς, ἀλλ' ἑτέρων.
Παῖδες, Αθαναία νύμφαν μίαν ἔν ποκα Θήβαις
Πουλύ τι καὶ πέρι δὴ φίλατο τᾶν ἑτάραν,
Ματέρα Τειρεσίαο. καὶ οὔποκα χωρὶς ἔγευτο·
Αλλὰ καὶ ἀρχαίων εὖτ' ἐπὶ Θεσπιέων,
Η 'πὶ Κορωνείας ἢ εἰς Αλίαρτον ἐλαύνοι
Ιππους, Βοιωτῶν ἔργα διερχομένα,
Η 'πὶ Κορωνείας, ἵνά οἱ τεθυωμένον ἄλσος,
Καὶ βωμοὶ ποταμῷ κεῖντ' ἐπὶ Κουραλίῳ·
Πολλάκις ἁ δαίμων μιν ἑῷ ἐπεβάσατο δίφρῳ.
Οὐδ' ὄαροι νυμφᾶν οὐδὲ χοροστασίαι
Αδεῖαι τελέθεσκον, ὅτ' οὐχ' ἁγεῖτο Χαρικλώ.
Αλλ' ἔτι καὶ τήναν δάκρυα πόλλ' ἔμενε,
Καίπερ Αθαναίᾳ καταθύμιον εὖσαν ἑταίραν.
Δή ποτε γὰρ πέπλων λυσαμένα περόνας,

Ιππω

Vos hodie vndiferæ tinguite, vos hodie Argos
Fontibus ex ipsis, non fluuiis, bibite.
Vos hodie ancillæ ferte vrnas ad Physadeam,
Aut ad Amymonen, progeniem Danai.
Nanque auro & multis permistus floribus vndas
Defluet è latis Inachus ipse iugis,
Et purum feret huic laticem. caue tu ergo Pelasge
Ne nudam imprudens aspicias dominam.
Aspiciet nudam qui Pallada quæ tenet vrbem,
Vltrà iam hoc Argos cernere non poterit.
Iam veneranda exi Pallas, dum quidpiam ego istis
Dicam; nec meus hic sermo, sed alterius.
Vnam olim, ô pueræ, Thebis dea Pallas amabat
Nympham, præ cunctis quas habuit comites,
Matrem Tiresiæ, nunquámque fuêre seorsum:
Sed siue ad veterum mœnia Thespiadûm,
Siue Coroneas, seu tenderet illa Haliarton,
Bœotûm visens vecta iugis populos,
Siue Coroneas, (vbi pulcher odoribus halat
Lucus, vbi ara ipsi Curalium ad fluuium)
Sæpe illam curru secum dea vexit eodem,
Nullâque nympharum colloquia, aut thyasi
Grata fuêre satis, nisi præforet ipsa Chariclo.
Verum & ei multæ debitæ erant lacrymæ,
Quãuis chara comes magnæ foret vsque Minervæ.
Nam se olim peplis vtraque depositis

Dum lauat in lymphis Heliconidos Hippocrenes,
Vtq; die vacuus mons tacet in medio:
Dū lauat ergo vtraque, & media sunt tẽpora lucis
Dumq; est in toto plurima monte quies,
Tiresias vnus canibus comitantibus ibat
Per loca sacra, leui flore genas nitidus,
Immensamq; sitim cupiens releuare, petito
Fonte, videt quæ non cernere fas homini.
Hìc irata licet sic illum affata Minerua est,
Quis te non vllis iam rediturum oculis,
O Euerida, malus hæc deus in loca duxit?
Sic ait: at pueri lumina nox pepulit.
Astitit, obticuit, dolor illi vt glutine vinxit
Genua; sonum tenuit vocis inops animus.
At Nympha exclamans, Quid nato, ait, ô dea, factum est?
Nunquid vestra, dea, talis amicitia?
Lumina mi pueri rapuisti, pectora nate
Vidisti infelix Pallados, iliáque:
At non & solem cernes iterum. heu misera: ô mons,
O Helicon rursum non peragrande mihi.
Magna nimis paruis mutas, quæ lumina nati
Pro ceruis paucis dorcadibusq; habeas.
Sic puerum ambobus charum complexa lacertis
Mater, flebilium carmen aëdonidum
Triste gemens iterat. Sed enim misserata Minerua
Tunc sociam verbis talibus alloquitur:

Dia,

Ιππω ἐπὶ κράνᾳ Ελικωνίδι καλὰ ῥεοίσᾳ
Λῶντο· μεσαμβρινὰ δ' εἶχ' ὄρος ἀσυχία·
Αμφότεραι λώοντο, μεσαμβριναὶ δ' ἔσαν ὧραι·
Πολλὰ δ' ἀσυχία τῆνο κατεῖχεν ὄρος.
Τειρεσίας δ' ἔτι μοῦνος ἅμαι κυσὶν, ἄρτι γένεια
Περκάζων, ἱερὸν χῶρον ἀνεστρέφετο.
Διψάσας δ' ἄφατόν τι, ποτὶ ῥόον ἤλυθε κράνας,
Σχέτλιος· οὐκ ἐθέλων δ' εἶδε τὰ μὴ θέμιδες.
Τὸν γὰρ χολωσαμένα περ, ὅμως προσέφασεν Αθάνα,
Τίς σε, τὸν ὀφθαλμὼς οὐκ ἔτ' ἀποισόμενον,
Ω Εὐηρείδα, χαλεπὴν ὁδὸν ἄγαγε δαίμων;
Α μὲν ἔφα, παιδὸς δ' ὄμματα νὺξ ἔβαλεν.
Εστάθη δ' ἄφθογγος· ἐκόλλασαν γὰρ ἀνίαι
Γώνατα, καὶ φωνὰν ἔσχεν ἀμηχανία.
Α νύμφα δ' ἐβόησε, Τί μοι τὸν κῶρον ἔρεξας
Πότνια; τοιαῦται δαίμονες ἐστὲ φίλαι;
Ομματα μοὶ τοῦ παιδὸς ἀφείλεο. τέκνον ἄλαστε
Εἶδες Αθαναίας στήθεα καὶ λαγόνας·
Αλλ' οὐκ ἀέλιον πάλιν ὄψεαι. ὦ ἐμὲ δειλάν.
Ω ὄρος, ὦ Ελικὼν οὐκ ἔτι μοι παριτέ.
Η μεγάλ' ἀντ' ὀλίγων ἐπράξαο· δόρκας ὄλεσσας,
Καὶ πρόκας οὐ πολλάς· φάεα παιδὸς ἔχεις.
Α μὲν ἐπ' ἀμφοτέραισι φίλον περὶ παῖδα λαβοῖσα
Μάτηρ μὲν γοερῶν οἶτον ἀηδονίδων
Αγε, βαρὺ κλαίουσα. θεὰ δ' ἐλέησεν ἑταίραν,
Καί μιν Αθαναία πρὸς τόδ' ἔλεξεν ἔπος,

Δῖα γύναι, μετὰ πάντα βαλεῦ πάλιν ὅσσα δι' ὀργὰν
Εἶπας· ἐγὼ δ' οὔ τοι τέκνον ἔθηκ' ἀλαόν.
Οὐ γὰρ Ἀθαναίᾳ γλυκερὸν πέλει ὄμματα παίδων
Ἁρπάζειν· Κρόνιοι δ' ὧδε λέγοντι νόμοι,
Ὃς κέ τιν' ἀθανάτων, ὅκα μὴ θεὸς αὐτὸς ἕλῃ,
Ἀθρήσῃ, μισθῷ τοῦτον ἰδεῖν μεγάλῳ.
Δῖα γύναι, τὸ μὲν οὐ παλινάγρετον αὖθι γένοιτο
Ἔργον· ἐπεὶ μοιρᾶν ὧδ' ἐπένευσε λίνα,
Ἀνίκα τοπρῶτόν νιν ἐγείναο· νῦν δὲ κομίζευ
Ὦ Εὐηρείδα τέλθος ὀφειλόμενον.
Πόσσα μὲν ἁ Καδμηΐς ἐς ὕστερον ἔμπυρα καύσει,
Πόσσα δ' Ἀρισταῖος, τὸν μόνον εὐχόμενοι
Παῖδα τὸν ἀβατὰν Ἀκταίονα τυφλὸν ἰδέσθαι.
Καὶ τῆνος μεγάλας σύνδρομος Ἀρτέμιδος
Ἔσσεται· ἀλλ' οὐκ αὐτὸν ὅ, τε δρόμος αἵ τ' ἐν ὄρεσσι
Ῥυσεῦν δὲ ξυναὶ τᾶμος ἑκαβολίαι,
Ὁππόταν οὐκ ἐθέλων περ ἴδῃ χαρίεντα λοετρὰ
Δαίμονος· ἀλλ' αὐταὶ τὸν πρὶν ἄνακτα κύνες
Τουτάκι δειπνησεῦντι. τὰ δ' υἱέος ὀστέα μάτηρ
Δεξεῖται, δρυμὼς πάντας ἐπερχομένα.
Ὀλβίσταν ἐρέει σὲ καὶ εὐαίωνα γενέσθαι,
Ἐξ ὀρέων ἀλαὸν παῖδ' ὑποδεξαμέναν.
Ὦ ἑτάρα, τῷ μή τι μινύρεο· τῷδε γὰρ ἄλλα
Τεῦ χάριν ἐξ ἐμέθεν πολλὰ μενεῦντι γέρα.
Μάντιν ἐπεὶ θησῶ νιν ἀοίδιμον ἐσσομένοισιν,
Ἡ μέγα τῶν ἄλλων δή τι περισσότερον.

Γνωσεῖ-

Dia, inquit, mulier, verte hæc qua protulit ira.
Non per me captus luminibus puer est.
Nam pueris auferre oculos haut dulce Minerua,
Στήλην μητρυιῆς, μικρὰν λίθον, ἔστεφε κοῦρος,
Ὡς βίον, ἠλλάχθαι καὶ τρόπον οἰόμενος·
Ἡ δὲ τάφῳ κλινθεῖσα, κατέκτανε παῖδα πεσοῦσα
Φεύγετε μετρυιῆς καὶ τάφον οἱ πρόγονοι.

ιβ'.

Ἦλθε Θεαίτητος καθαρὴν ὁδὸν. ἡ δ' ἐπὶ κισσὸν
Τὸν τεὸν οὐχ αὐτὴ Βάκχε κέλευθος ἄγει.
Ἄλλων μὲν κήρυκες ἐπὶ βραχὺν οὔνομα καιρὸν
Φθέγξονται, κείνου δ' Ἑλλὰς ἀεὶ σοφίαν.

ιγ'.

Μικρή τις Διόνυσε, καλὰ πρήσσοντι ποιητῇ
Ῥῆσις. ὁ μὲν, νικῶ, φησὶ τὸ μικρότατον.
Ὦ δὲ σὺ μὴ πνεύσης ἐνδέξιος, ἢν τις ἔρηται
Πῶς ἔβαλες, φησὶ, σκληρὰ τὰ γιγνόμενα.
Τῷ μερμηρίξαντι τὰ μὴν δίκα, τοῦτο γένοιτο
Τοὔπος, ἐμοὶ δ' ὦναξ ἡ βραχυσυλλαβίη.

ιδ'.

Τῆδε Σάων ὁ Δίκωνος Ακάνθιος ἱερὸν ὕπνον
Κοιμᾶται. θνήσκειν μὴ λέγε τοὺς ἀγαθούς.

ιε'.

Ἢν δίζῃ Τίμαρχον ἐν ἀΐδος, ὄφρα πύθηαι
Ἢ τι περὶ ψυχῆς, ἢ πάλι πῶς ἔσεται.
Δίζεσθαι, φυλῆς Πτολεμαΐδος, ἡέα πατρὸς
Παυσανίου. δήεις δ' αὐτὸν ἐν εὐσεβέων.

ις'.

Σύντομος ἦν ὁ ξεῖνος, ὁ κὴ τάφος. οὐ μακρὰ λέξω
Θῆρις Αρισταίου, Κρὴς, ὑπ' ἐμοὶ, δολιχόν.

ιζ'.

XIII.

Bacche breuis vox est facienti pulchra poëtæ
Gratior, & verbo VINCO *ait exiguo.*
At cui tu dexter non afflas, ille rogatus,
Quis tibi iactus? ait, SORS MALE FAVSTA MEA EST.
Quisquis mente nefas agitat, verba eius in ore
Sint hæc. Voce breui sit mihi Bacche frui.

XIIII.

Patre Dicone Saon sacrũ Acãthius hîc modo somnũ
Carpit. nanque bonos dicere nolo mori.

XV.

Quisquis apud manes Timarchũ quaris, vt illum
Quid de anima rogites; quáve futura dehinc.
Ortum quare tribu Ptolemaide, patréque natum
Pausania, inque pio hunc Elysio inuenies.

XVI.

Hospes erat paruus, parua vrna, inscriptio parua
Theris Aristæi, Cres, latet hoc tumulo.

XVII.

XVII.

Hippacon & Didymen facile est reperire viator
Cyzicon ingresso. nobile nam genus est.
His, licet ingratum, dices tamen, hacce quod urna
Illorum Critias filius occulitur.

XIIX.

[a] *An tegitur saxo hoc Charidas?* [b] *Si dicis Arimna*
Natum, Cyrene cui patria est, Tegitur. [*quis?*
[a] *O Charida, Orcus quid?* [b] *Tenebræ ingentes.* [a] *Redit* [b]
Nugæ. [a] *Quid Pluto?* [b] *Fabula. concidimus.*
Hæc vobis haud vana loquor. Iucunda requiris?
Venit Alexandri sub stygа Bucephalus.

XIX.

Fausta sibi deinceps quis crastina spondeat? En te
Quem hesternum Charmi vidimus hisce oculis,
Lugentes hodie tumulauimus. heu nihil vnquam
Tristius hac vidit luce pater Diophon.

XX.

Timonoē, quanā es? neq; enim (sacra numina testor)
Te agnossem, cippo ni titulus patria

Methym-

ιζ'.

Κύζικον ἦν ἔλθῃς, ὀλίγος πόνος Ἱππακὸν εὑρεῖν
Καὶ Διδύμην. ἀφανὴς οὔτι γὰρ ἡ γενεή.
Καί σφιν ἀνιηρὸν μὲν ἐρεῖς ἔπος, ἔμπα δὲ λέξον
Τοῦθ', ὅτι τὸν κείνων υἱὸν ἔχω Κριτίαν.

ιη'.

a Ἦρ' ὑπό σοι Χαρίδας ἀναπαύεται; b εἰ τὸν Ἀρίμνα,
Τοῦ Κυρηναίου παῖδα λέγεις, ὑπ' ἐμοί. [τί;
a Ὦ χαρίδα, τὶ τὰ νέρθε; b πολὺ σκότος. a αἱ δ' ἄνοδοι
b Ψεύδος. a ὁ δὲ πλούτων, b μῦθος. ἀπωλόμεθα.
Οὗτος ἐμὸς λόγος ὔμμιν ἀληθινός. εἰ δὲ τὸν ἡδὺν
Βούλει, Πελλαίου βοῦς μέγας εἰς ἀΐδην.

ιθ'.

Δαίμονα τίς δ' εὖ οἶδε τὸν ἄυριον; ἡνίκα καί σε
Χάρμι τὸν ὀφθαλμοῖς χθιζὸν ἐν ἡμετέροις,
Τῇ ἑτέρῃ κλαύσαντες ἐθάπτομεν. οὐδὲν ἐκείνου
Εἶδε πατὴρ Διοφῶν χρῆμ' ἀνιηρότερον.

κ'.

Τιμονόη, τίς δ' ἐσσί; μὰ δαίμονας, οὐ σ' ἂν ἐπέγνων
Εἰ μὴ Τιμοθέου πατρὸς ἐπῆν ὄνομα

Στήλῃ,

Στήλη, καὶ Μήθυμνα τεὴ πόλις. ἦ μέγα φημὶ
Χῆρον ἀνιᾶσθαι σὸν πόσιν Ευθυμένη.

κα'.

Κρηθίδα τὴν πολύμυθον, ἐπισταμένην καλὰ παίζειν,
Δίζον τὴν Σαμίων πολλάκι θυγατέρες,
Ηδίσταν σανέριθον, ἀεὶ λάλον· ἡ δ' ἀποβρίζει
Ενθάδε τὴν πάσαις ὕπνον ὀφειλόμενον.

κβ'.

Ωφελε μήδ' ἐγένοντο θοαὶ νέες. οὐ γὰρ ἂν ὑμεῖς
Παῖδα Διοκλείδου Σώπολιν ἐστένομεν.
Νῦνδ' ὁ μὲν εἰν ἁλί που φέρεται νέκυς, ἀντὶ δ' ἐκείνου
Οὔνομα καὶ κενεὸν σᾶμα παρερχόμεθα.

κγ'.

Νάξιος οὐκ ἐπὶ γῆς ἔθανεν Λύκος, ἀλλ' ἐνὶ πόντῳ
Ναῦν ἅμα καὶ ψυχὴν εἰδὲν ἀπολλυμένην,
Εμπορος Αἰγίνηθεν ὅτ' ἔπλεε χὠ μὲν ἐν ὑγρῇ
Νεκρὸς. ἐγὼ δ' ἄλλως οὔνομα τύμβος ἔχων,
Κηρύσσω πανάληθες ἔπος τόδε. φεῦγε θαλάττῃ
Συμμίσγειν ἐρίφων ναντίλε δυομένων.

κδ'.

Methymnæq; & Timothei patris additus esset.
Dij quantus dolor es Euthymeni viduo?

XXI.

Crethis festiuùm garrire, & ludere docta
Quaritur à Samiis vndique virginibus.
Dicax perpetuò, socia & dulcissima. at illam
Ille sopor, cunctos qui manet, arripuit.

XXII.

O vtinam nauis nunquam fabricata fuisset,
Nam neque te natum Sopoli Dioclide
Fleremus. nunc exanimem iactat mare, próque
Te, nomen, vacuum visimus & tumulum.

XXIII.

Naxius in terra haud perijt Lycus, at mari in alto
Absorptam sensit nauim animámque simul,
Æginam ob merces dum nauigat. ipse procellis
Voluitur. at tumulus nomen inanis habet.
Hoc moneo exemplo verax, Fuge nauita pontum
Hœdorum sidus cùm semel occiderit.

XXIV.

XXIV.

Bis sex natum annos pater vrna hac cõdo Philippus
Nicotelem puerum, spem simul eximiam.

XXV.

Manè Melanippum tumulauimus: at sibi fero
Vespere virgo manus intulit heu Basilo.
Nanque rogo fratrem imponens, superesse putauit
Indignum. gominum hinc tecta habuêre malum
Patris Aristippi. luxit quoque tota Cyrene
Orbam ex fœcunda dum videt esse domum.

XXVI.

Quisquis adis fausto tumulũ hũc pede, Callimachi
Scito Cyrenæi filium, & esse patrem. [me
Sic ambos noris. Patriæ hic dux præfuit armis,
Iste omni est vates altior inuidia.
Nec mirum. Pueris etenim queis lumina Musa
Adiiciunt, pergunt hos adamare senes.

XXVII.

Cretensem Astacidem pastorem è montibus istis
Nympha procax rapuit. nunc sacer Astacides
Dictæis

κδ'.

Δωδεκέτη τὸν παῖδα πατὴρ ἀπέθηκε φίλιππος
Ενθάδε, τὴν πολλὴν ἐλπίδα, Νικοτέλην.

κε'.

Ηῶοι Μελάνιππον ἐθάπτομεν, ἠελίου δὲ
Δυομένου Βασιλὼ κάτθανε παρθενικὴ,
Αὐτοχερὶ. ζώειν γὰρ, ἀδελφεὸν ἐν πυρὶ θεῖσα,
Οὐκ ἔτλη. διδυμον δ' οἶκος ἐσεῖδε κακόν
Πατρὸς Αριστίπποιο. κατήφησεν δὲ Κυρήνη
Πᾶσα, τὸν εὐτέκνων χῆρον ἰδοῦσα δόμον.

κϛ'.

Οστις ἐμὸν παρὰ σῆμα φέρεις πόδα, Καλλιμάχου με
Ἴσθι Κυρηναίου παῖδα τε καὶ γενέτην.
Εἰδείης δ' ἄμφω κεν. ὁ μέν ποτε πατρίδος ὅπλων
Ηρξεν, ὁ δ' ἤεισεν κρείσσονα βασκανίης.
Οὐ Νέμεσιν. Μοῦσαι γὰρ ὅσους ἴδον ὄμματι παῖδας
Αχρι βίου πολιοὺς οὐκ ἀπέθεντο φίλους.

κζ'.

Αστακίδην τὸν Κρῆτα, τὸν αἰπόλον, ἥρπασε νύμφη
Εξ ὄρεος. καὶ νῦν ἱερὸς Αστακίδης

Οἰκεῖ Δικταίῃσιν ὑπὸ δρυσὶν. οὐκ ἔτι Δάφνιν
Ποιμένες, Ἀστακίδην δ' ἀιὲν ἀεισόμεθα.

κή.

Εἶπας, Ἥλιε χαῖρε, Κλεόμβροτος ὤμβρακιώτης
Ἥλατ' ἀφ' ὑψηλοῦ τείχεος εἰς ἀίδην.
Ἄξιον οὐδὲν ἰδὼν θανάτου κακὸν, ἀλλὰ Πλάτωνος
Ἐν τὸ περὶ ψυχῆς γράμμ' ἀναλεξάμενος.

κθ'.

Ἥρως Ἠετίωνος ἐπὶ σταθμὸν Ἀμφιπολίτεω
Ἱδρυμαι, μικρῷ μικρὸς ἐπὶ προθύρῳ.
Λοξὸν ὄφιν καὶ μοῦνον ἔχων ξίφος. ἀνδρὶ δὲ ἱππεῖ
Θυμωθεὶς, πεζὸν κἀμὲ παρωκίσατο.

λ'.

Ὤμοσε Καλλίγνωτος Ἰώνιδι, μήποτ' ἐκείνης
Ἐξεὶν μήτε φίλον κρείσσονα, μήτε φίλην.
Ὤμοσεν. ἀλλὰ λέγουσιν ἀληθέα, τοὺς ἐν ἔρωτι,
Ὅρκους μὴ δυνεῖν οὔατ' ἐς ἀθανάτων.
Νῦν δ' ὁ μὲν ἄλλης δὴ θέρεται πυρὶ, τῆς δὲ παλαίνης
Νύμφης (ὡς Μεγαρέων) οὐ λόγος, οὔτ' ἀριθμός.

λά.

Dictæis habitat sub quercubus. Ergo canemus
Pastores, non iam Daphnin, at Astaciden.

XXIIX.

Phœbe vale, dixit, muróque Cleombrotus alto
Ad Styga præcipitem se Ambraciota dedit.
Morte nihil passus dignum, sed dia Platonis
Quæ de anima emisit perpete scripta legens.

XXIX.

Heros Eetionis ad hospitium Amphipolitæ
Sum paruo paruus vestibulo positus.
At lateri serpens, solusq; est additus ensis,
Infensúsque equiti, me peditem posuit.

XXX.

Iurarat modò Callignotus: Ionide nunquam
Mas, muliérve mihi, carior vllus erit.
Iurauit. verè sed vulgò vt fertur, amantum
Iuramenta aures cœlicolum haud subeunt.
Nunc etenim alteriùs calet igne. at Ionidos illi,
Ceu Megaræ, nulla est aut ratio, aut numerus.

XXXI.

Calliste primùm sum dicta. at postmodò Thera,
Hac genitrix nostra est ditis equûm patria.

XXXII.

Terra parens, paruo vixi breue tempus, & egi
Nil atrox, prudens non alicui nocui.
Si prauum laudaui aliquid, neq; tu mihi terra
Esto leuis, nec dij quorum ago in arbitrio.

λά.

Καλλίστη προπάροιθε, τὸ δ' ὕστερον οὔνομα θήρη.
Μήτηρ εὐίππου πατρίδος ἡμετέρης.

λβ'.

Εἶχον ἀπὸ σμικρῶν ὀλίγον βίον, οὔτε τι δεινὸν
Ρέξων, οὔτ' ἀδικῶν οὐδένα, γαῖα φίλη
Μίκυλος. εἴ τι πονηρὸν ἐπήνεσα, μήτε σὺ κούφη
Γίγνεο, μήτ' ἄλλοι δαίμονες οἵ μ' ἔχετε.

CALLIMACHI FRAGMENTA.

Αἰεὶ γὰρ σμικροῖς σμικρὰ διδοῦσι θεοί.

Apud Apollonij ſcholiaſten.

Ἐπρεπέ τοι προέχουσα κάρης εὐρεῖα καλύπτρη
Ποιμενικὸν πίλημα, καὶ ἐν χερὶ χαῖον ἔχουσα.

Apud eundem.

Δέσποιναι Λιβύης ἡρωΐδες, αἱ Νασαμώνων
Αὖλιν καὶ δολιχὰς θῖνας ἐπιβλέπετε,
Μητέρα μοι ζώουσαν ὀφέλλετε.

Apud eundem.

Καὶ τὰ μὲν ὡς ἤμελλε κατὰ χρόνον ἐκτελέεσθε,

Apud eundem.

Ἐν Δίῃ τὸ γὰρ ἔσκε παλαίτερον οὔνομα Νάξῳ.

Apud eundem.

Θηρὸς ἀερτάζων δέρμα κατωμάδιον.

Apud eundem.

——Χαλύβων ὡς ἀπόλοιτο γένος,
Τηλόθεν ἀντέλλοντα κακὸν φυτὸν οἵ μιν ἔφηναν.

Apud

Apud Schol. Arati.

Ἡ δὲ Κόνων μ' ἔβλεψεν ἐν ἠέρι, τὸν Βερονίκης
Βόστρυχον, ὃν κείνη πᾶσιν ἔθηκε θεοῖς.

Apud Athenæum lib. 7.

Ἡ μᾶλλον χρύσεον ἐν ὀφρύσιν ἱερὸν ἰχθὺν
Ἡ πέρκας. ὅσα τ' ἄλλα φέρει βυθὸς ἄσπετος ἅλμης.

Apud Atheneum lib. 15.

Πολλοὶ καὶ φιλεόντες ἀκόντιον ἦκαν ἔραζε
Οἰνοπόται, Σικελᾶς ἐκ κυλίκων λατάγας.

Apud Clementem in Protrept.

Φοῖβος Ὑπερβορέοισιν ὄνων ἐπιτέλλεται ἱροῖς.

Apud eundem.

Τέρπουσιν λιπαραὶ φοῖβον ὀνοσφαγίαι.

Apud Strabonem lib. 1.

Αἰγλήτην, Ἀνάφην τε Λακωνίδι γείτονα θήρῃ
Λείπων ἀρχόμενος.

Ibidem.

—— ὡς ἥρωες ἀπ' Αἰήταο κυταίου
Αὖθις ἐς ἀρχαῖαν ἔπλεον ἁρμονίην.

Citatur & hoc Callimachi.

Νηφάλιαι γὰρ τῆσιν ἀεὶ μελιηδέας ὠπὰς
Λήτειραι καίειν ἔλλαχον Ησυχίδαις.

Ex Callimachi Dactylicis.

Α παῖς ἁ κατάκλειστος
Τὰν οἱ φασὶ τεκόντες
Ευναίους ὀαρισμοὺς
Εχθειν ἶσον ὀλέθρου.

Ex Agellio lib. IIII. cap. XI.

Καὶ κυάμων ἀπὸ χεῖρας ἔχειν ἀνιῶντων ἔδεσθαι
Κἀγὼ Πυθαγόρας ὡς ἐκέλευε λέγω.

Ex Macrobio lib. V. cap. XXI.

Καὶ γὰρ ὁ θρηικίτην μὲν ἀπήνατο χανδὸν ἄμυστιν
Ζωροποτεῖν. ὀλίγῳ δ' ἥδετο κισσυβίῳ.
Τῷ μὲν ἐγὼ τὸ δ' ἔλεξα περιστείχοντος ἀλείσου
Τὸ τρίτον.

Ex Arati vita incerto auctore.

Ἡσιόδου τὸ δ' ἄεισμα καὶ ὁ τρόπος οὐτὸν ἀοιδὸν
Εσχατον, ἀλλ' ὁ καισώμητο μελιχρότατον,
Τῶν ἐπέων ὁ Σελεὺς ἀπεμάξατο. χαίρετε λεπταὶ
Ρῆσεις ἀρήτου Σύγγονοι ἀγρυπνίης.

Ex Luciano lib. cui tit. Ερωτες.

Αἴθε γὰρ ὦ κούροισιν ἐπ' ὄμματα λιχνὰ φέροντες
Ερχιος ὡς ἡμῖν ὥρισε παιδοφιλεῖν

Ωδε

Ὧδε νέων ἐράοιτε, πόλιν κ' εὔανδρον ἔχοιτε.

Ex Plutarchi Symposiacis.

* Καί μιν Αληϊίδαι πουλὺ γεγειότερον
Τοῦδε, παρ' αἰγαιῶνι θεῷ τελέοντες ἀγῶνα,
Θήσουσιν νίκης σύμβολον ἰσθμιάδος.
Ζήλῳ τῶν Νεμέηθε, πίτυν δ' ἀποτιμήσουσιν,
ᾗ πρὶν ἀγονιστὰς ἔστεφε τοὺς ἐφύρη.

Ex Scholiaste Pindari.

Χαῖρε βαρυσκίμπων ἐπίτακτα μὲν ἕξακι δοιὰ
Ἐκ δ' αὖτ' ἀγρεσίης πολλάκι πολλὰ καμών.

Ex eodem.

Πρῶτος ἐπεὶ τὸν ταῦρον ἐκαίνισεν, οἱ τὸν ὄλεθρον
Εὗρε, τὸν ἐν χαλκῷ καὶ πυρὶ γιγνόμενον.

Ex eodem.

Ταί μὲν ἀρισκύδης εὖνις ἀνῆκε διὸς
Ἄργος ἔθειν, ἴδιον περ ἔον λάγος. ἀλλὰ γενέθλη
Ζηνὸς, ὅπως σκοτίη τρηχὺς ἄεθλος ἔοι.

Ex eodem.

Καὶ παρ' Ἀθηναίοις γὰρ ἐπὶ τέγος ἱερὸς ἦνται
Καλπίδες οὐ κόσμου σύμβολον, ἀλλὰ πάλης.

Ex Scholiaste Aristophanis.

Αλλ' ἐνὶ δὴ φύλλοισι κεκομμένα τόσσα φέροιτε·
Γράμματα, Κυδίππην ὡς ἐρέουσι καλήν.

Ex Olympiodoro in Meteora.

Αυτὸν μὲν φιλέουσ' ἀυτὸν δὲ τε πεφρίκασι
Εσπέριον φιλέουσιν, ἀποστυγέουσιν ἐῶον.

Ex Stobæo.

Γηράσκει δ' ὁ γέρων κεῖνος ἐλαφρότερον,
Κοῦροι τὸν φιλέουσι. νέοι δέ μιν οἷα τοκῆα
Χειρὸς ἐπ' οἰκείην ἄχρις ἄγουσι θύρην.

Ex eodem.

Αρνες τοι φίλε κοῦρε ὁμήλικες, ἄρνες ἑταῖροι
Εσκον ἐνηρίθμοι, δαύλια καὶ βοτάναι.

ΣΧΟΛΙΑ

ΣΧΟΛΙΑ ΠΑΛΑΙΑ

ΕΙΣ ΤΟΥΣ ΚΑΛΛΙΜΑ-ΧΟΥ ΤΜΝΟΥΣ.

ΕΙΣ ΤΟΝ ΔΙΟΣ ΥΜΝΟΝ.

ΖΗΝΟΣ ἔοι] Γότερον, Ζηνὸς σπονδῇσιν; ἢ, Ζηνὸς τί λώϊον ἀείδειν;

Verſ. 3. Πηλογόνων] Τῶν γιγάντων, παρὰ τὸ ἐκ πηλοῦ γενέσθαι. Τουτέστι τῆς γῆς.

V. 4. Δικταῖον] Κρῆτα. Δίκτη γὰρ ὄρος Κρήτης.

Λυκαῖον] Αρκάδα. Λυκαῖον, Αρκαδίας ὄρος.

V. 5. Αμφήριστον] ἀμφίλογον.

V. 6. Ιδαίοισιν] Ιδη, ὄρος Κρήτης ἐν Τροίας· νῦν δὲ τὸ Κρήτης φησί.

V. 7. Πότεροι] Εν ἤθει ἀναγνωστέον τὸ πότεροι.

V. 8. Κρῆτες ἀεί.] Γαροιμία ἐστὶ τὸ κρητίζειν, ἐπὶ τοῦ ψεύδεσθαι, ἀπὸ Ιδομενέως τοῦ Κρητὸς ῥηθεῖσα· ὃς λαχὼν μερίσαι τοῖς Ελλησι τὰ λάφυρα τοῦ Ιλίου, τὰ κρείττω ἑαυτῷ περιεποίησατο.

Ibid. Τάφον] Εν Κρήτῃ ἐπὶ τῷ τάφῳ τοῦ Μίνωος ἐπεγέγραπτο, ΜΙΝΩΟΣ ΤΟΥ ΔΙΟΣ ΤΑ-

ΦΟΣ.

ΦΟΣ. τῷ χρόνῳ δὲ τὸ τοῦ Μίνωος ἀπηλείφθη· ὥστε περιλειφθῆναι, Διὸς τάφος. ἐκ τούτου οὖν ἔχειν λέγουσι Κρῆτες τὸν τάφον τοῦ Διός. ἢ ὅτι Κορυβάντες λαβόντες αὐτὸν ἐπὶ τὸ κρύψαι διὰ τὸν Κρόνον, προσεποιήσαντο τάφον αὐτῷ.

V.10. Παῤῥασίῃ.] Ορος Αρκαδίας τὸ Παῤῥάσιον, ἀπὸ Παῤῥάσου τοῦ Λυκάονος.

V.13. Ερπετὸν] Οὔτε ἑρπετὸν, οὔτε γυνὴ χρῄζουσα τοῦ τεκεῖν ἐπιμίσγεται. Η οὕτως· οὐ χρῄζει εἰληθύιας, τουτέστι γεννήσεως. ὅτι πᾶν ζῶον εἰσιὸν ἐκεῖ μεμολυσμένον, ἄγονον ἐγίνετο, καὶ σκιὰν τὸ σῶμα αὐτοῦ οὐκέτι ἐποίει.

V.14. Απιδανῆες] Οἱ ἀρχαῖοι Αρκάδες.

V.17. Λύματα] Καθάρματα. Τὸ δὲ Χυτλώσαιτο, ἀντὶ τοῦ ἀπολούσαιτο. Ερύμανθος δὲ, ποταμὸς Αρκαδίας. V.21. Οἷ ἐλύσατο] Υστερον μετὰ τὸ τεκεῖν τὴν Ρέαν.

V.22. Σαρωνίδας] δρῦς. παρὰ τὸ σεσηρότα καὶ συνεστραμμένον τὸν φλοιὸν ἔχειν. Τὸ δὲ ἤειρεν, καὶ ὤχησεν, ἀντὶ τοῦ ἐβάστασε.

V.24. Καρίωνος] Λείπει ἡ ὑπὲρ. πολλὰ δ' ὑπὲρ τοῦ Καρίωνος ἑρπετὰ τοὺς φωλεοὺς ἐποίησαν.

V.25. Κινώπετα] Τὰ θηρία, οἱονεὶ κινώπεδα, παρὰ τὸ ἐν τῷ ἐδάφει κινεῖσθαι. τὸ δὲ Νίσσετο, ἀντὶ τοῦ ἤρχετο. ἐπορεύετο.

V.26. Κρᾶθιν] Κρᾶθις, ποταμὸς Αρκαδίας. Γολύστειον δὲ, τὸν πολύψηφον, καὶ πολυπάτητον.

Μετώ-

Μετώπην] Ποταμὸν Αρκαδίας.

V.32. Τόθι χρόα] Τὸν σὸν χρῶτα, ὦ ἄνα, σπείρωσε φαιδρύνασα.

V.33. Νέδῃ] Ονομα νύμφης Ωκεανίνης, θρεψαμένης τὸν Δία.

V.35. Μαιώσαντο] ἔθρεψαν.

Φιλύρην τε] Μήτηρ Χείρωνος τοῦ Κενταύρου.

V.39. Καυκώνων] Ορος Αρκάδων ὁ Καύκων. Λέπριον δὲ, ἀπὸ Λεπρέα, τοῦ Γοσειδῶνος· ὃς προσκαλεσάμενος εἰς ἀδηφαγίαν Ηρακλέα, καὶ ὑπ' ἐκείνου ἡττηθεὶς ἐφονεύθη.

V.41. Λυκαονίης ἄρκτιο] Τῆς πρώην λεγομένης Καλλιστοῦς, Λυκάονος δὲ θυγατρός· ἐξῆς καὶ Διὸς, μεταβληθέντος εἰς Αρτεμιν, γενναῖ δ' ὁ Αρκάς· ἀφ' οὗ οἱ Αρκάδες.

V.42. Θενὰς] Θεναὶ, πόλις καὶ ἄλσος.

V.44. Τουτάκι] τοτηνικαῦτα.

V.45. Κύδωνες] Εθνος Κρήτης.

V.46. Προσεπηχυνάντο] Εἰς τοὺς πήχεις ἔλαβον.

V.47. Αδρήστεια] Αδελφὴ Κουρήτων.

V.48. Λίκνῳ ἐνὶ.] Εν γὰρ λίκνοις τὸ παλαιὸν κατεκοίμιζον τὰ βρέφη, πλοῦτον καὶ καρποὺς οἰωνιζόμενοι. λίκνον οὖν, τὸ κόσκινον· ἢ τὸ κουνίον, ἐν ᾧ τὰ παιδία τιθέασιν.

V.49. Αμαλθείης] Οὕτως ἐκαλεῖτο ἡ αἴξ τὸν Δία θρέψασα. λέγεται δὲ ἀπὸ μὲν τοῦ ἑνὸς κέρατος ἀμβροσίαν ῥεῖν, ἀπὸ δὲ τοῦ ἄλλου, νέκταρ.

Ibid.

Ibidem. Εβρως] ἔφαγες.

V.50. Εξαπιναῖα] Τουτέστιν, ἐξαίφνης ἐγένετο ἡ Ιδη πλέα μέλιτος.

V.52. Οὖλα] Κατὰ κλῆρον. Υγιεινῶς.

Ibid. Περὶ πρύλιν] ἐνόπλιον.

V.59. Επιδαίσιον] μεμερισμένον.

V.60. Δηναιοὶ] οἱ παλαιοί.

V.62. Τίς δέ κ' ἐπ' ὀλύμπῳ τε] Τίς δ' ἂν φρόνιμος ἐπὶ ὀλύμπῳ καὶ ᾅδῃ κληρωθῆναι ἀνάσχοιτο;

V.63 Νενίηλος] ὁ ματαιόφρων, καὶ ἐστερημένος τοῦ αἰόλλειν καὶ κινεῖν τὸν νοῦν.

Επ' ἰσαίῃ γὰρ] Ὁ κλῆρος ἐπ' ἴσων πραγμάτων χωρεῖ· ὁ οὐρανὸς δὲ καὶ ὁ ᾅδης, πλεῖστον διαφέρουσι.

V.65. Ψευδοίμην αἰόντος ἄκεν πεπίθοιεν ἀκουήν.] Λείπει λέγων. τὸ δὲ πεπίθοιεν, ἀντὶ τοῦ πείσειαν. V.66. Εσσῆνα] Εσσὴν κυρίως ὁ βασιλεὺς τῶν μελισσῶν· νῦν δὲ ὁ τῶν ἀνδρῶν.

Ibid. Πέλας εἴσαο δίφρου] Τὸ κράτος πλησίον ἵδρυσας τοῦ δίφρου.

V.68. Θήκαο δ' οἰωνὸν] τὸν ἀετόν.

V.70. Εἵλεο δ' αἰζηῶν] Νῦν καθόλου λέγει τῶν ἀνθρώπων.

V.71. Εμπεράμους] τοὺς ἐμπόρους.

V.74. Γεωμόρος] ὁ γεωργός.

V.76. Υδείομεν] λέγομεν.

V.77. Επακτῆρας] κυνηγέτας.

Ibid. Χιτώνης] Νηλεὺς ὁ Κόδρου, ἀποικίαν θέ-

μενος

μένος ἀπὸ Ἀθηνῶν, ἔλαβε χρησμὸν ἐγείραι ξόανον τῇ Ἀρτέμιδι ἀπὸ παγκάρπων ξύλων. ὃ δή ποτε ἑορτῆς τελουμένης τῇ Ἀρτέμιδι ἐν τῇ Χιτώνῃ (ἔστι δὲ δῆμος Ἀττικῆς) ἀπελθὼν εὗρε δρῦν πάμπολυν καὶ διάφορον ἔχουσαν ἠρτημένον καρπόν. ὃ ἐκ τούτου ἐποίησεν ἄγαλμα τῇ θεᾷ· καὶ οὕτω μετῴκησεν ἐν Μιλήτῳ. ἀπὸ τοῦ δήμου οὖν ἔσχε τὴν ὀνομασίαν ἡ Ἀρτεμις. ἢ ὅτι τικτομένων τῶν βρεφῶν ἀνετίθεσαν τὰ ἱμάτια τῇ Ἀρτέμιδι.

V. 80. Τάξιν] Λαχμόν. Κλήρωσιν.

V. 82. Ἀκρῆς ἐν πολίεσσιν] Ἐν ταῖς ἀκροπόλεσσι καθέζῃ, ὁρῶν τὰ δίκαιά.

V. 84. Ῥυηφενίην] Πλοῦτον. σύγκειται δὲ ἡ λέξις παρὰ τὸ ῥύδην καὶ ἄφενος. τουτέστι, τὴν τοῦ πλούτου ῥύσιν. V. 86. Ἡμετέρῳ μεδέοντι] Περὶ τοῦ Πτολεμαίου ταῦτα λέγει.

V. 89. Οἱ δὲ] Δηλαδὴ οἱ ἄλλοι βασιλῆες.

Ibid. Γλεῖωνι] ἐνιαυτῷ.

V. 90. Ἀνίω] Ἀνισιν. Τελείωσιν.

Ibid. Αὐτὸς] Ὦ ζεῦ.

V. 95. Οὔτ' ἀρετῆς] Καὶ Ἡσίοδος, -πλύτῳ δ' ἀρετὴ ὃ κῦδος ὁπηδεῖ.

ΕΙΣ

ΕΙΣ ΤΟΝ ΑΠΟΛΛΩ-ΝΟΣ ΥΜΝΟΝ.

ΟΙΟΝ ὁ τῶ πόλλωνος] Ἀντὶ τοῦ, οἵως, ὅπως. ἔστι δὲ θειασμός· λέγεται δ' ἐπὶ τῶν μαντευομένων τὰ θεῖα, καὶ ἐπιδημεῖν καὶ ἀποδημεῖν. καὶ ὅταν μὲν ἐπιδημῶσι, τὰς μαντείας ἀληθεῖς εἶναι· ὅταν δὲ ἀποδημῶσι, ψευδεῖς. ὡς γοῦν ἐπιδημοῦντος τοῦ θεοῦ, ταῦτα φησὶν ὁ Καλλίμαχος.

V. 4. Οὐχ ὁράας; ἐπένευσεν ὁ Δήλιος] Δεικτικῶς. λέγεται δὲ ὅτι παρὰ τῷ δένδρῳ ἐγέννησεν ἡ Λητὼ τὸν Απόλλωνα.

V. 5. Ο δὲ κύκνος] ὄρνεον ἱερὸν Απόλλωνος.

V. 6. Αὐτοὶ νῦν] Αντὶ τοῦ αὐτόματοι.

V. 7. Αὐταὶ δὲ] αὐτόματοι.

Ibid. Ανακλίνεσθε] Ομηρος, Ημὲν ἀνακλῖναι πυκινὸν νέφος ἠδ' ἐπιθεῖναι.

V. 14. Εἰ τελέειν μέλλουσι γάμον.] Εἰ μέλλουσι καὶ γάμων ἐντὸς γενέσθαι, καὶ πολιάσαι. καὶ γὰρ ἀκειρεκόμης ὁ Απόλλων.

V. 15. Εστήξειν] Απὸ τοῦ Ιστημι, παρακείμενος Εστηκα. ἀπὸ τούτου ποιοῦσιν οἱ Συρακούσιοι ἐνεστῶτα Εστήκω οὗ ὁ μέλλων ἑστήξω, καὶ τὸ ἀπαρέμφατον ἑστήξειν. V. 16. Χέλυς] ἡ κιθάρα.

V. 18. Εὐφημεῖ] Ησυχάζει. Γαλληνιᾷ.

Ibid. Κλείουσιν] ὑμνοῦσι.

V. 20.

V.20. Κινύρε͵] Θρίωεῖ. Κλαίει.

Ibid. Αἴλινα] ἤτοι θρηνητικά.

V.22. Ἀναβάλλε͵] ὑπωξτίθε͵.

V.26. Βασιλῆι] Τῷ Πτολεμαίῳ τῷ Εὐεργέτῃ. Διὰ δὲ τὸ φιλολόγον αὐτὸν εἶναι, ὡς θεὸν ὑμᾶς.

V.32. Τό, τ' ἐνδυτόν, ἤτ' ἐπιπορπὶς] Ἐνδυτὸν, τὸ ἱμάτιον· Ἐπιπορπὶς δέ, ἡ περόνη.

v.33. Τό, τ' ἄεμμα] ἡ ὑδρία. πυρὰ τὸ ἑκατέρωθεν δεδέλθ. Λύκτος δ' ἐστὶ πόλις Κρήτης.

v.35. Πυθῶνί κε τεκμήραιο] Ὁμηρος, Οὐδ' ὅσα λάϊνος ἀδὸς ἀφήτορος ἔντος ἐέργῃ Φοίβου Ἀπόλλωνος, Πυθοῖ ἐὶ πετρήεσσῃ.

v.37. Θηλείαις] ἁπαλαῖς.

Ibid. Χνόος] Ψόφος. Ξυσμός.

v.38. Λείβουσιν ἔλαια] Σημείωσαι ὅτι τὸ ἔλαιον πληθυντικῶς παρ' ἄλλοις εὑρηται.

v.40. Παιάκειαν] τὴν ἴασιν.

v.41. Πρῶκες] Δράσοι. Σπαγόνες.

Ibid. Ἀκήρια] ἀσθενῆ τὰ νοσήματα. ἢ μᾶλλον, ἄφθαρτα καὶ ἄνοσα πάντα γίνε͵.

v.42. Ἀμφιλαφὴς] Ἐπιγρ. ἐξότης, ἀοιδός, μάντις, ἰατρὸς, καὶ ποιμήν.

v.45. Κεῖνα δ' ἁθρεμμὶ] Μαντικὴ ψῆφοι εἰσὶν αἱ θρεμμὶ λέγε͵ δ' αὐτὰς δύρηας ὑπὸ λιναν τελῶν νυμφῶν διὰ τοῦτο θρεμμὶ ὠνομάσθησαν, οἱονεὶ τελμί.

v.48. Ἐξότ' ἐπ' Ἀμφρυσῷ] Ἀμφρυσὸν οἱ μὲν, ποταμὸν Θεσσαλίας, οἱ δὲ πόλιν.

Ibid. Ζευγήτιδας] τὰς ὑπὸ ζυγὸν ἀγομένας.

Ηϊθέου] Αγάμου. Απαιδος.

v.50. Βουβόσιον] Ο τόπος ἔνθα οἱ βόες νέμονται. τὸ δὲ Επιμηλάδες, ἀντὶ τοῦ αἱ μετὰ τῶν μήλων νεμόμεναι. καὶ γὰρ καὶ τὰς αἶγας μῆλα λέγουσιν. ὡς Ομηρος ἐπεξηγεῖται, Μῆλ' ὀϊές τε καὶ αἶγες ἰαύεσκον. Εἰ δὲ Μενεμηλάδες γράφεται, ἀντὶ τοῦ θήλειαι ἐστίν.

v.53. Ακυθοι] Αγονοι. κύθος γὰρ τὸ κύημα.

Καλῇ ἐν Ορτυγίῃ, περιηγέος] Κυκλοτεροῦς. οὕτω γὰρ στρογγύλη λίμνη ἐν Ορτυγίᾳ καλεῖται. Ορτυγία δὲ ἡ Δῆλος, ἀπὸ τοῦ τὴν Λητὼ, εἰς ὄρτυγα μεταβληθεῖσαν, εἰς τὴν Δῆλον ἐλθεῖν, φεύγουσαν τὴν Ηραν.

v.61. Κυνθιάδων] Κύνθος, ὄρος τῆς Δήλου.

v.65. Εφρασε Βάττῳ] Λέγεται ὅτι οὗτος ὁ Βάττος ἄφωνος ἦν· ἀπῆλθεν οὖν εἰς τὸ τοῦ Απόλλωνος ἱερὸν, ἐπὶ τῷ τὸν θεὸν ἐρωτῆσαι περὶ τῆς φωνῆς. ὁ δὲ ἔχρησεν αὐτῷ οὐκέτι περὶ φωνῆς, ἀλλὰ περὶ μετοικίας. καὶ ὁ Βαττος πεισθεὶς τῷ χρησμῷ, ἦλθεν εἰς τὴν Λιβύην. λέγεται δὲ εἶναι πολλοὺς λέοντας ἐν ταύτῃ τῇ χώρᾳ. ἐπιδημήσας οὖν ὁ Βάττος, καὶ λέοντα αἰφνιδίως θεασάμενος, τῇ τοῦ φόβου ἀνάγκῃ βιασθεὶς φθέγξασθαι, διέῤῥηξε τὴν φλέβα ἥτις τὴν ἐκείνου φωνὴν ἐπεῖχε· καὶ οὕτω φωνήεις ἐγένετο, καὶ τὴν Κυρήνην ἔκτισεν. ὅθεν ἐστὶν ὁ Καλλίμαχος.

v.66. Κόραξ ἡγήσατο] Ως ἀνακείμενος τῷ Απόλλωνι ὁ κόραξ.

v.68. Ημετέροις βασιλεῦσι] Τῷ Πτολεμαίῳ.

v. 69.

v.69. Βοηδρόμιον] Πολέμε ἐπελθόντος τῆς Ἀθηναίοις, ἔχρησεν αὐτοῖς ὁ θεὸς, μὴ βοῆς ἐπιθέσθαι τοῖς πολεμίοις· οἱ δὲ, τοῦτο ποιήσαντες, ἐνίκησαν. ὅθεν Βοηδρόμιος Ἀπόλλων.

v. 71. Καρνεῖον] Ἀπὸ Κάρνου τοῦ μάντεως, ὃς ἀναιρεθέντος ὑπὸ Ἀλήτου, ὃς ἦν τῶν Ἡρακλειδῶν. ὀργισθεὶς δὲν Ἀπόλλων λοιμὸν ἐνέβαλεν.

v.74. Ἐκβὰν γένος Οἰδιπόδαο] Οἰδίπους, ὃς Πολυνείκης, ὃς Θέρσανδρος, οὗ Αὐτεσίων, ὃς Τισαμενὸς, ὃς Θηρέας· ὃς ἀπῴκησεν εἰς Θήραν τὴν νῆσον, τότε νῦν οὕτω κληθεῖσαν.

v.76. Οὖλος Ἀριστοτέλης] Ὁ αὐτὸς καὶ Βάττος λέγεται. Οὖλος δὲ, ὁ ὑγιὴς, ὡς παρὰ τὸν φοιβόν. καὶ γὰρ ὁ δοθεὶς αὐτῷ χρησμὸς τοῦτο παρεμφαίνει, Βάττ' ἐπὶ φοινὴν ἦλθες· ἄναξ δέ σε Φοῖβος ἀνώγει Ἐς Λιβύην ἐλθεῖν μηλοτρόφον οἰκιστῆρα. Ἀσβυσίδα δὲ, τὸν λοβὸν λέγει, παρὰ τὸν ἄσβεστον. διαύτη γὰρ ἡ Λιβύη λοβοκόμος.

v.78. Τελεσφορίῳ] Ἑορτῷ. Θυσίαν.

v. 81. Κρόνον] Κρόκος, τὸ ἄνθος· παρὰ τὸ ἐν κρύει θάλλειν.

v. 85. Ζωστῆρες Ἐννοῦς] Φοινικικῶς, οἱ πολεμικοί.

v.86. Ὠρχήσαντο μὴ ξανθῇσι] Ὡς ἐπετέλουν ἐν τῇ Λιβύῃ ἑορτῷ Καρνείῳ Ἀπόλλωνι.

v.87. Τέθμια] Νόμιμα. Ἐθισμένα.

Κυρῆς] Κρήνη ἐν Κυρήνῃ.

v. 89. Δωριέες] Δωριέας τοὺς Ηρακλείδας λέγει, τοὺς ἀπὸ Σπάρτης μετοικήσαντας εἰς Θήραν, καὶ ἀπὸ Θήρας εἰς Κυρήνην.

Ibid. Αζιλιν] Ορος καὶ ποταμὸς Λιβύης.

v. 90. Τοὺς μὲν ἄναξ] Ηγουν ὁ Απόλλων.

v. 91. Στὰς ἐπὶ Μυρτούσης κερατώδεος] Μύρτουσα, ὄρος Λιβύης. Κερατώδεος δὲ, τὸ κέρατα ἐχούσης, ἤτοι ἀκρωρείας. φαίνεται δὲ ἡ Κυρήνη φονεύσασα ἐν τῇ Λιβύῃ λέοντά τινα, βλάπτοντα τὰς βοῦς τοῦ Εὐρυπύλου. ἦν δὲ αὕτη κυνηγέτις, θυγάτηρ Υψέως.

v. 92. Υψὶς] ἡ Κυρήνη.

v. 95. Αρπακτύος] Τῇ Κυρήνῃ κυνηγετούσῃ ἐν ὄρει Θεσσαλίας τῷ Πηλίῳ συνεκαθεύδησεν Απόλλων, ἐξ ἧς τίκτεται ὁ Αρισταῖος.

v. 106. Οὐκ ἄγαμαι τὸν ἀοιδὸν ὃς] Εγκαλεῖ διὰ τούτων τοὺς σκώπτοντας αὐτὸν μὴ δύνασθαι ποιῆσαι μέγα ποίημα. ὅθεν ἠναγκάσθη ποιῆσαι τὴν Εκάλην.

v. 108. Ασσυρίου ποταμοῖο μέγας] Τὸν τῶν Περσῶν λέγει, τὸν καλούμενον Ευφράτην.

ΕΙΣ

ΕΙΣ ΤΟΝ ΑΡΤΕΜΙΔΟΣ ΥΜΝΟΝ.

ΑΡΤΕΜΙΝ (ἐγὼ ἐλαφρὸν ἀειδόντεσσι] Τὸ ἑξῆς, Ἀρτεμιν ὑμνέομαι, ἀρχόμενοι.

v.3. Ἐψιάασαν] Διατρίβειν. Παίζειν.

v.4. Ἐφεζομένη γηνάτεσσιν] Ὁμηρος, Οὐδέπω μιν παῖδες ποτὶ γούνασι πιπτάζουσιν.

v.8. Εα πάτερ] Τὸ Εα δασυνόμενον καὶ ὀξυνόμενον, τὰ ἴδια ἢ τὰ ἀγαθὰ δηλοῖ· φιλέομαι γὰρ καὶ παρθενεύομαι, τὸ συγχαίρω, καὶ οἶδα. καὶ τὸ ἐάω ἦρξεν ἂν. Εἰ ὅτε καὶ ἐθέλοις.

v.10. Λειμμα] ἡ νομή.

v.11. Ἀλλὰ φαεσφορίῳ τε] Ἡ ὅπου λαμπαδοῦχος· (ἡ αὐτὴ γὰρ τῇ Ἑκάτῃ) ἢ ὅτι τοὺς μυουμένους ἐκφαίνει εἰς φῶς.

v.12. Λεγνωτὸν] Τὸ ἔχον ὤας. Ἰστέον τὸ ἀπολῆγον ἐν ἱματίου. Λέγνα γὰρ, αἱ ὤαι, τὰ λώματα, οἱ κροσσοί. ἄνωθεν Ὁμηρος θυσάνους καλεῖ, Τῆς ἑκατὸν θύσανοι παγχρύσεοι. τὸ δὲ ἑξῆς, αὖτε μοι, ὁπότε δὴ μὴ λύ[κας σύνδρομίδας τε θοὰς κύνας σὺ κομέοισιν.

v.14. Αμίτρεις] Ἀζώστους. Μὴ παρθενευομένας. μίτρας γὰρ ἐζώννυντο, ὡς ἔλυον ὅταν ἔμελλον παρθενεύεσθαι. Ἢ ὅτι οἱ ἄγαμοι γυμνοὶ ἐβάδιζον.

v.15. Αμνισίδας] Ἀμνισὸς, ποταμὸς Κρήτης· ἀφ' οὗ Κρηπικάς.

v.16. Ενδρομίδας] Τὰ ὑποδήματα.

v.18. Ηντινα νεῖμον] Περιττὸν τὸ ἦν.

v.19. Λῆς] Αντὶ τοῦ θέλεις, κατ' ἀποβολὴν τῆς θε συλλαβῆς. κέχρηται πολλαχοῦ τῇ λέξει καὶ ὁ Θεόκριτος, Λῆς ποτὶ τᾶν νυμφᾶν, λῆς αἰπόλε, τῇδε καθίξας. Ibid. Σπαρνὸν] σπάνιον.

v.21. Μοῦνον ὅτ' ὀξείαισιν ὑπ' ὠδίνεσσι γυναῖκες] Η αὐτὴ γάρ ἐστι τῇ Εἰληθυίᾳ.

v.28. Μέχρις] Περιττόν ἐστι.

v.30. Τυτθόν κεν] Αντὶ τοῦ, οὐδὲ τυτθόν.

v.35. Καὶ Αρτέμιδος καλέεσθαι] Απὸ κοινοῦ τὸ εἴσεται.

v.36. Διαμετρήσασθαι] Απὸ κοινοῦ τὸ, ὀπάσω σοὶ μετὰ τάς λ· κοινῇ δέ σοι καὶ τῷ Απόλλωνι πολλάς.

v.40. Επεκρήηνε καρήατι] Ομηρος, -ὅ, τι κεν κεφαλῇ κατανεύσω.

v.41. Λευκὸν ἐπὶ Κρηταῖον] Ορος Κρήτης. ἑνικῶς οὗτος εἴρηκε, Λευκὰ δὲ ὄρη λέγονται πληθυντικῶς. v.44. Χαῖρε δὲ Καίρατος] Ποταμὸς Κρήτης, καὶ πόλις ἡ Καίρατος, οὕτω λεγομένη.

v.45. Αμορβοὺς] Ακολούθους· παρὰ τὸ ἅμα πορεύεσθαι.

v.46. Τοὺς μὲν ἔτετμε] Τὸ ἑξῆς, τοὺς μὲν ἔτετμεν ὑπ' ἄκμοσιν Ηφαίστοιο. νῆσος δέ ἐστιν ἡ Λιπάρα Σικελίας, ἔνθα ἦν τὰ χαλκεῖα Ηφαίστου. ἔστι δὲ μία τῶν Αἰολίδων. λέγεται δ' ὅτι σίδηρα διάφορα θέντες ἐν αὐτῇ ναῦται, ἕωθεν εὑρήκασιν αὐτὰ ἐκ τῆς ἀναδόσεως

σεως τῦ πυρὸς πεπαυθέντα· καὶ διὰ τῦτο σκληὴ ἡ νῆσος Λιπάρα, διὰ τὸ αὐτὰ διάφορα ὄντα, ἐν ῥηγέαις.

v.49. Μύδρον] Σίδηρον πεπυρακτωμένον, παρὰ τὸ μύρεσθαι καὶ διαῤῥεῖν.

v.51. Πρηόσιν Οστείησιν] Οσα, ὄρος Μακεδονίας. v.53. Φάεα μυνόγλωσσα] Καὶ Ησίοδος, Κυκλοτερὴς δ' ὀφθαλμὸς ἔφυ.

v.53. Υπογλαύσσοντα] Υπολάμποντα. ὅθεν καὶ γλαῦκος.

v.56. Αὐτῶντε βαρυὼ στόνον] ἀπὸ κοινοῦ τὸ ἔθεισαν. Ibid. Αἴτνη] Ορος Σικελίας.

v.58. Κύρνος] Νῆσος ἀντικρὺ τῆ Σικελίας ἡ Κύρνος ἐστί.

v.59. Εὖθ' οἵ γε ραιστῆρας] Τὸ ἐξῆς, ἐπεὶ μέγα πολύτ' ἄημα, εὖθ' οἵ γε ραιστῆρας. λέγει δὲ τὰς σφύρας, ραιστῆρας, παρὰ τὸ ῥαίειν καὶ φθείρειν τὰ ἰσχοπίπλοντα. v.61. Αμβολαδὶς] Εκ Διαδοχῆς.

v.62. Ακηδέες] ἄφοβοι.

v.69. Αἰθῇ] Τῇ κεκαυμένῃ. Τῇ μελαίνῃ.

v.70. Μορμύσσεται] σκοτοβεῖ.

v.74. Οπλήεσσα δοίη] Τὰ ἰσχὲς τῦ ἰδεῖν δῶρα.

v.77. Ωλοψας] Απέτιλας. Ελέπισας.

v.79. Κόμιλω ἐπενείματ' ἀλώπηξ] Πάθος περὶ τὸ κεφαλλὸ γινόμενον· ἀπὸ μεταφορᾶς τῦ ζώου. τὸ γὰρ ζῶον τοῦτο λέγεται ὅπ ἔνθα ἂν ἐρήσῃ, ἄγονος ὁ τόπος τῷ ἐτέ σκείνῳ γίγνεται.

v.81. Κυαλώνιον] Εθνος Κρήτης. ἀφ' οὗ Κρηϊκόν.

v.82. Κατακληῖδα] τὴν φαρέτραν.

v.84. Μόνιον δάκος] Κατὰ μόνας νεμόμενον.

v.88. Ο δὲ κρέα λυγκὸς] Εἶδος θηρίου, οὗ τὸ οὖρον πήγνυται. ὃ καλοῦσι λυγκούριον.

v.89. Μαιναλίης] Μαίναλον, ὄρος Αρκαδίας.

v.90. Πηγοὺς] Λεύκους. καὶ Ομηρος, πηγεσιμάλω.

v.94. Κυνοσουρίδας] Τὰς ὑπὸ κυνῶν καὶ ἀλωπέκων τικτομένας κύνας Η, τὰς Λακωνικάς. Κυνοσουρὶς γὰρ, τόπος Λακωνικῆς.

v.95. Καὶ οὐ μύοντα λαγωόν] Ο γὰρ λαγωὸς καὶ ἐν τῷ κοιμᾶσθαι οὐ μύει.

v.96. Καὶ ὕστριχος] Υστριξ, θηρίον τὶ ταχύτατον.

v.99. Προμολῆς] Ταῖς διεξόδοις τοῦ Παρρασίου ὄρους Αρκαδίας.

v.101. Αναύρου] Ποταμὸς Θεσσαλίας ὁ Αναυρος.

v.102. Κεράων δ' ἀπελάμπετο χρυσός] Σημείωσαι ὅτι τὰς θηλείας ἐλάφους, κερατοφόρους εἶπε.

v.107. Κελάδοντος] Ποταμὸς Αρκαδίας.

v.109. Κεραύνιος] Λόφος Αρκαδίας.

v.110. Τυτιοκτόνε] Τυτιὸς βιασάμενος Λητὼ, ἀνῃρέθη ὑπὸ Απόλλωνος καὶ Αρτέμιδος.

v.114. Αἵμῳ ἔπι] Ορος Θράκης.

Ibid. Κατάϊξ] ἡ λεγομένη καταιγίς.

v.117. Μυσῷ ἐν Οὐλύμπῳ] Εστι γὰρ καὶ Μακεδονίας. v.124. Εμμάξεαι] ἐμβάλῃς.

v.125. Κτήνεά φιν] Φιν χωρὶς τοῦ σ', διὰ τὸ μέτρον. v.127. Η βληταὶ] Βεβλημέναι ὑπὸ Αρτέμιδος.

v.133.

v.133. Τρώγει] Τρύχει. Φθείρει.

v.134. Ταὶ δὲ θυωρὸν] Θυωρὸς, ἡ φιλικὴ τράπεζα. κυρίως δὲ, ἡ θεοῖς ἀνατιθεμένη. τὸ δὲ ἑξῆς, περὶ μίαν θυωρὸν τὰ δίφρα τίθενται αἱ εἰνάτερες, καὶ αἱ γαλόω.

v.136. Εἴη μὲν ἐμοὶ φίλος] Εἴημοι φίλος ὅστις ὑπὸ σοῦ προνοεῖται· εἴην δὲ καὶ αὐτός.

v.140. Τόξα, καὶ ἄντυγες] Ἀπὸ τῆς ἄντυγος τὸ ὅλον ἅρμα σημαίνει.

v.143. Ἀκακήσιος] ἀπὸ ὄρους Ἀρκαδίας. Η, ὁ μηδενὸς κακοῦ παραίτιος ὤν.

v.146. Τιρύνθιος ἄκμων] Ο μὴ καμὼν ἐπὶ τοῖς ἄθλοις Ἡρακλῆς.

v.149. Πενθερὴ] ἡ Ἡρα.

v.152. Πινύσκει] Σωφρονίζει. Κολακεύει ὁ Ἡρακλῆς.

v.154. Εα πρόκας] Διὰ τὴν ἀδηφαγίαν τὰ μείζω τῶν ζώων κελεύει αὐτὴν ἀγρεύειν.

v.159. Φρυγίη] Φρυγία, ὄρος Τραχῖνος, ἔνθα ἐκάη ὁ Ἡρακλῆς.

Θειοδάμαντι] Βασιλεὺς Δρυόπων ὁ Θειοδάμας.

v.165. Ωκύθοον τριπέτηλον] Τὸ ταχέως ἀνατέλλον τρίφυλλον.

v.166. Υπολήνιδας] Πυέλους. Ποτίστρας.

v.170. Ηνίκα δ' αἱ νύμφαι σε] Τὸ ἑξῆς, ἡνίκα αἱ νύμφαι, μὴ νεῖον τημοῦτος.

v.171. Ινωποῖω] Ινωπὸς, ποταμὸς Δήλου. Αἰγύπτιος δὲ, διὰ τὸν Νεῖλον, ὅτι καὶ αὐτὸς ἐκεῖ πλημμυρεῖ.

μυρεῖ. ἢ ὅτι λέγεται τοῦ ὕδατος τοῦ Νείλου μετέχειν λαθραίως. Πιτάνη δὲ, πόλις Μακεδονίας.

v.172. Ἠ ἐνὶ Λίμναις] Λίμναι, δῆμος Ἀττικῆς, ἔνθα τιμᾶται ἡ Ἄρτεμις.

v.173. Ἀλὰς Ἀραφανίδας] Δύο Ἀλαὶ δῆμοι τῆς Ἀττικῆς, Ἀλαὶ Ἀραφανίδες, καὶ Ἀλαὶ Ζωνίδες.

v.174. Τέθμια] Τὰ νόμιμα τῶν Ταυροσκυθῶν, τὸ θύειν τοὺς ξένους.

v.175. Τημοῦτος] τηνικαῦτα.

v.176. Ὑπ' ἀλλοτρίῳ] τὸ ἑξῆς, ἡνίκα αἱ νύμφαι τὴν Ἄρτεμιν τῷ χορῷ κυκλώσουσι, μὴ γένοιτο τὰς ἐμὰς βοῦς ἐπ' ἀλλοτρίῳ μισθῷ ἐργάζεσθαι. καὶ γὰρ ὁ ἥλιος ἐπέχει τὴν ἑαυτοῦ δρόμον, καὶ αὐτὸς ἐφορῶν τὸν χορὸν τῶν νυμφῶν· ὥστε γίγνεσθαι πολὺ τὸ τῆς ἡμέρας διάστημα. v.178. Κόπρον] τὴν ἔπαυλιν.

Ibid. Στυμφαλίδες] Ἠπειρωτικαί. Στύμφαι γὰρ, χωρίον τῆς Ἠπείρου. λέγεται δὲ καλὰς βοῦς ἔχειν τὴν Ἠπειρον. v.179. Κεραελκέες] Διὰ τὸ τοῖς κέρασιν ἕλκειν τὸ ἄροτρον.

v.187. Πέργη] Μητρόπολις Παμφυλίας.

v.188. Τηΰγετον] Ὄρος Λακεδαίμονος.

Ibid. Εὐρίποιο] Εὔριπος ὁ μεταξὺ Εὐβοίας καὶ Βοιωτίας ῥοῦς. καλεῖται δ' οὕτως ἡ Εὔβοια, διὰ τὸ ἐπιμήκη αὐτὴν κεῖσθαι. λέγεται δὲ καὶ Μάκρις.

v.189. Γορτυνίδα] Κρητικήν· ἀπὸ τόπου.

v.190. Ἐλλοφόνον] νεβροκτόνον.

Ibid. Βριτόμαρτιν] Βριτόμαρτις, ὄνομα κύριον τῆς νύμ-

τῆς νύμφης. ἀφ' ἧς καὶ ἡ Αρτεμις ἐν Κρήτῃ Βριτόμαρτις τιμᾶται, ὡς Διογενιανός.

v.194. Παίπαλά τε] Τόπους τραχεῖς.

v.204. Οὖπι ἄνασσ' εὐῶπι] Οὖπις, ἐπίθετον Αρτέμιδος. ἢ παρὰ τὸ ὀπίζεσθαι τὰς τικτούσας, ἢ παρὰ τὴν θρέψασαν αὐτὴν Οὖπιν. ἢ διὰ τὰς Υπερβορέους κόρας, Οὖπιν, Εκαέργην, Λοξώ· ἃς ἐτίμησεν Απόλλων καὶ Αρτεμις. καὶ ἀπὸ μιᾶς μὲν Οὖπις ἡ Αρτεμις· Λοξίας δὲ καὶ Εκάεργος ἐκ τῶν λοιπῶν, ὁ Απόλλων.

v.208. Υψηΐς] ἡ Κυρήνη.

Ibid Ιώλκιον] Τὸν τύμβον τοῦ Πελίου. Ιώλκιος γὰρ ὁ Πελίας.

v.209. Καὶ Κεφάλου ξανθὴν] Ηγουν, τὴν Πρόκνην καὶ καλὴν Αντίκλειαν. ἢ, τὴν μητέρα Οδυσσέως, ἢ ἄλλην τινά.

v.215. Ποδοῤῥώην] Τὴν τοῖς ποσὶν ὀρούουσαν καὶ ὁρμῶσαν.

v.221. Οὐδέ μεν Υλαῖόν τε] Υλαῖος καὶ Ροῖκος κένταυροι περὶ Αρκαδίαν, οὓς ἀνεῖλεν Αταλάντη βιασαμένους αὐτήν.

v.224. Τάων Μαιναλίη νᾶεν φόνῳ] Τῶν λαγόνων τῶν κενταύρων.

Ibid. Νᾶεν] Εσταξεν. ἔβρεξεν. ὅθεν καὶ Νᾶμα, καὶ νασμός.

v.228. Χησιὰς] Χήσιον, ἀκρωτήριον τῆς Σάμου. καὶ Ιμβρασος, ποταμὸς τῆς Σάμου.

v.232. Ραμνουσίδι] Ραμνοῦς, δῆμος Αττικῆς, ἔνθα τῇ Νε-

τῇ Νεμέσει ὁ Ζεὺς συνεκαθεύδησεν. ἥτις ἔτεκεν ᾠόν· ὅπερ εὑροῦσα ἡ Λήδα ἐθέρμανε, καὶ ἐξέβαλε τοὺς Διοσκούρους καὶ τὴν Ελένην.

v.235. Αξείνια] Ορος Αρκαδίας.

Ibid. Τὸν δ' ἐνὶ Λούσοις] Η εὐθεῖα τὰ Λοῦσσα, ὡς Ηρωδιανός.

v.236. Εἵλεο παίδων] Μανεῖσαι γὰρ αἱ τρεῖς αὐτοῦ θυγατέρες, πάλιν διὰ τῆς Αρτέμιδος ἡμερώθησαν. ὁ δὲ κτίζει ἱερὰ δύο. ἓν μὲν, Κορίης. ἓν δὲ, Ημερίης· διότι τὰς κόρας ἡμέρωσεν.

v.239. Ιππὼ] Μία τῶν Αμαζόνων.

v.245. Εργον Αθηναίης] Αθηνᾶ γὰρ ἔφορος πάσης τέχνης. v.246. Σάρδιας] Πόλις Λυδίας.

Ibid. Βερεκύνθιον] Μεταξὺ Λυδίας καὶ Φρυγίας.

v.250. Ρέα κεν Πυθῶνα] Ομηρος, Οὐδ' ὅσα λάϊνος οὐδὸς ἀφήτερος ἐντὸς ἐέργει.

v.251. Καὶ ἠλαίνων] Μωραίνων.

v.254. Βοὸς πόρον Ιναχιώνης] τῆς Ιοῦς, τῆς εἰς βοῦν μεταμορφωθείσης. Βόσποροι δὲ εἰσὶ δύο, ὅ, τε τοῦ Βυζαντίου, καὶ ὁ Κιμμέριος.

v.259. Μουνυχίη] Μουνύχιον γὰρ ἐστὶ μέρος τοῦ Πειραιῶς, τοῦ λιμένος τῶν Αθηνῶν.

ΕΙΣ

ΕΙΣ ΤΟΝ ΤΗΣ ΔΗΛΟΥ ΥΜΝΟΝ.

V.7. ΠΙΜΠΛΕΙΑΝ] Ορος Θράκης, ἱερὸν Μουσῶν.

v.11. Κείνη δ' ἠνεμόεσσα καὶ ἄτροπος] Οτι ἀκίνητος ἐς ἄσειστος ἡ Δῆλος, ἐς οὐδέποτε ἠνεμωμένη, τινάσσεται. ἐς Θουκυδίδης σεισμὸν γενόμενον μέγαν βουλόμενος ἐξηγήσασθαι, φησὶν ὅτι τοσοῦτον ἦν μέγας, ὥστε τὴν Δῆλον νῆσον σεισθῆναι. Αλλως. Ατροπος, Ασειστος· Αγεώργητος, καὶ μὴ τρεπομένη καὶ μεταβαλλομένη ἐν τῷ ἀροῦσθαι. τραχεῖα γάρ.

v.14. Απομάσσεται] ἀπορρύπτει.

v.18. Νῆσοι ἀολλίζονται] Οὐχ ὅτι αἱ νῆσοι ἀθροίζονται, ἀλλ' οἱ ἔξαρχοι θεοί.

v.19. Κύρνος ὀπηδεῖ] Η νῦν Τύρος καλουμένη.

v.20. Καὶ Μάκρις Αβαντιὰς] ἡ τῶν Εὐβοέων.

v.22. Σαοῖ] σώζει.

v.23. Ερυμναί] ἠσφαλισμέναι.

v.26. Στρυμονίου βορέαο] Στρυμὼν, ποταμός ἐστι ἐς πόλις Θράκης.

v.28. Εἰ δὲ λίην πολέες σε] Αἱ Πινδάρου καὶ Βακχυλίδου. ἔδει δὲ εἰπεῖν πολλαί.

v.30. Η ὡς τὰ πρώτιστα] Λέγεται γὰρ ὅτι ὁ Ποσειδῶν τῇ τριαίνῃ ἀποσπῶν τῆς χέρσου τὰς νήσους ἐποίει.

v.41. Απὸ ξάνθοιο πολίχνης] Από τινος Ξάνθου βασιλεύσαντος Τροιζῆνος.

v.46.

v.46. Χαλκιδικῆς δ' αὐτῆμαρ] Χαλκὶς, πόλις Εὐβοίας. v.47. Σούνιον] ἀκρωτήριον τῆς Ἀττικῆς.

Ibid. Ἡ νήσοιο διάβροχον] τῆς Σάμου τὸ γόνιμον.

v.50. Γείτονος Αγκαίου] Αγκαῖος βασιλεὺς Σάμου. v.57. Διακριδόν] Κατ' ἐξοχήν. Μεγάλως. v.60. Σπερχομένη] Ὀργιζομένη.

Εἵατο] ἐκαθέζοντο.

v.63. Αἵμου] Ὄρος Θράκης.

v.65. Επτάμυχον] πολύμυχον.

v.66. Νησάων] Παραλόγως ἔχει τὴν διαίρεσιν. οὐ γὰρ ἀπὸ τῶν εἰς ᾱ ἐστίν.

v.67. Ἡστο κόρη] ἡ Ἶρις.

Ibid. Μίμαντι] Ὄρος Χίου.

v.71. Παρθένιον] Ὄρος Αρκαδίας τὸ Παρθένιον, ἔνθα τὴν Αὔγην τὴν Αλεοῦ θυγατέρα, ἱέρειαν τῆς Αθηνᾶς, ἔφθειρεν Ἡρακλῆς.

Ibid. Φεναιός] Πόλις Αρκαδίας ἀρχαία.

v.73. Εμπλην Αἰγιαλοῦ τε καὶ Αργεος] Ὁμηρος, Αἰγιαλόν τ' ἀνὰ πάντα.

v.75. Καὶ Αονίη] Αονίας τὰς Θηβας λέγει.

v.76. Δίρκη τε, Στροφίη τε] Κρῆναι ἐν Θήβαις ταῖς Βοιωτίαις.

v.77. Ισμηνοῦ] Ισμηνὸς, ποταμὸς Θηβῶν, καὶ Ασωπός. v.78. Επεὶ πεπάλακτο] Επεὶ τὴν θυγατέρα αὐτοῦ Αἴγιναν ἁρπαγῆναι ὑπὸ Διὸς ἀπήγγειλε Σίσυφος· ὁ δὲ ἤρξατο διώκειν αὐτόν. Ζεὺς δὲ ὀργισθεὶς ἐκεραύνωσεν αὐτόν.

v.79.

v. 79. Η δ' ὑποδινηθεῖσα] Υπότρομος γενομένη.

v. 80. Αὐτόχθων Μελίη] Τὸ ἑξῆς, οὐκ ἔστι κύριον, ἀλλ' ἁπλῶς εἴρηται περὶ πάσης μελίας.

v. 82. Ελικῶνος] Ορος Βοιωτίας.

v. 86. Ταῖς μὲν ἔτ' Απόλλων] Ταῖς μὴ δεξαμέναις δηλαδὴ τὴν Λητώ.

v. 88. Θήβη, τίπτε τάλαινα τὴν αὐτίκα] Τὸ ἑξῆς, ὦ Θήβη, τί αὐτίκα ἐλέγχεις τὴν ἐσόμενον σοι πότμον; v. 90. Τριποδήιος] ὁ Δελφίνης.

v. 92. Απὸ Πλειστοῖο] Πλειστὸς, ποταμὸς Φωκίδος, παρὰ τὴν Παρνασὸν ῥέων, ὅ ἐστιν ὄρος Φωκίδος.

v. 94. Τομώτερον] σαφέστερον.

v. 96. Κακογλώσσοιο] τῆς Νιόβης. ἐν Θήβαις γὰρ κατῴκει. v. 97. Κιθαιρών] Ορος Θηβῶν.

v. 101 Ελίκη] Πόλις Βοιωτίας.

v. 102. Βοῦράτε, Δεξαμενοῖο] Βοῦρα, πόλις Αχαίας· ᾤκησε δὲ αὐτὴν Δεξαμενὸς ὁ Κένταυρος. ἐκεῖ δὲ αὐτοῦ τὰ βοοστάσια ἐφυλάττετο· διὸ καὶ Βοῦρα ὠνομάσθη.

v. 104. Καὶ αἱ Χειρωνίδες ἄκραι] Τὸ Πήλιον, ὄρος τῆς Θεσσαλίας, διὰ τὸ τὴν Χείρωνα ἐκεῖ οἰκῆσαι.

Πηνειὸς] Ποταμὸς Θεσσαλίας.

Τεμπέων] Τέμπη, αἱ στενώταται διεκβολαὶ τῶν Θεσσαλίας ὀρῶν.

v. 109. Θεσσαλίδες] αἱ περὶ τὴν Πηνειόν.

v. 115. Πεποίησαι] Προσποιῇ τὸ ὀξέως τρέχειν.

v. 118. Φιλύρης νυμφήϊον] Εν τῷ Πηλίῳ γὰρ ὁ Κρόνος

Κρόνος τῇ Φιλύρᾳ μιγεὶς γεννᾷ τὸν Χείρωνα.

v.122. Αναγκαίη] Τὸ τοῦ ποιητοῦ, —— ἀναγκαίη γὰρ ἐπείγει.

v.125. Απαύγασαι] Θέασαι.

Ibid. Οἷος ἔφεδρος] Τὸν Αρη λέγει.

v.132. Τί περισσά;] Λείπει τὸ φθέγγομαι.

v.134. Παγγαίου] Πάγγαιον, ὄρος Θράκης.

v.137. Οσσης] Ορος Θεσσαλίης.

v.139. Πίνδοιο] Ορος Περραίβιον.

v.143. Εἰς ἑτέρην Βριαρῆος] Οἱ μὲν, Βριάρεω· οἱ δὲ, Τυφωέως· οἱ δὲ, Εγκελάδου.

v.144. Θερμαϋστραὶ] Αἱ κάμινοι.

v.150. Κοικηΐς] Κοίου γὰρ καὶ Φοίβης θυγάτηρ Λητώ. ἴσως Κοιαντίς.

v.156. Κέρκυρα] ἡ Φαιακία.

v.160. Μεροπηΐδα] Η ὅτι ὑπὸ Μέροπος ἐβασιλεύθη, ἢ ὅτι Μέροπες αὐτὴν ᾤκησαν· ἢ ὅτι Μέροπος θυγάτηρ ἡ Κῶς.

v.165. Αλλά οἱ ἐκ μοιρέων] Διὰ τὸ ἐκεῖσε ἀνατραφῆναι τὸν Φιλάδελφον Πτολεμαῖον ἐν τῇ Κῷ.

v.166. Υπὸ μίτρην] Υπὸ τὴν βασιλείαν. Υπὸ τὴν ἀρχήν.

v.167. Μακηδόνι] τῷ Φιλαδέλφῳ Πτολεμαίῳ.

v.174. Τιτῆνες ἀφ' ἑσπέρου] τῆς δύσεως. Τιτῆνες δὲ, διὰ τὸ ἐπιχείρημα.

v.175. Ρώσονται, νιφάδεσσιν ἐοικότες] Βρέννος ὁ τῶν Γαλλῶν βασιλεὺς, συναγαγὼν τοὺς Κελτοὺς, ἦλθεν

ἦλθεν ἐπὶ Πυθῶνα, βουλόμενος τοῦ θεοῦ τὰ χρήματα διαρπάσαι. πλησίον δὲ γενομένων, ὁ Απόλλων χαλάζῃ χρησάμενος, ἀπώλεσε τοὺς πλείους αὐτῶν. ὀλίγων οὖν περιλειφθέντων, Αντίγονός τις φίλος τοῦ Φιλαδέλφου Πτολεμαίου, προξενεῖ αὐτοὺς αὐτῷ ὥστε ἐπὶ μισθῷ στρατεύεσθαι. καὶ γὰρ ἔχρησεν ὁ Πτολεμαῖος τούτου στρατεύματος. οἱ δὲ ὁμοίως ἠβουλήθησαν καὶ τοῦ Πτολεμαίου διαρπάσαι τὰ χρήματα. γνοὺς οὖν συλλαμβάνει αὐτοὺς, καὶ ἀπάγει πρὸς τὸ στόμιον τοῦ Νείλου τὸ λεγόμενον Σεβενυτικὸν, καὶ κατέκλυσεν αὐτοὺς ἐκεῖσε. ταῦτα οὖν φησὶ ξυνὸν ἀγῶνα ἔσεσθαι.

v. 185. Τέων] Ωντινων ἀσπίδων αἱ μὲν ἐμοὶ ἐς γέρας, αἱ δὲ τῷ Πτολεμαίῳ δοθήσονται.

v. 191. Διειδομένη] φαινομένη.

Ibid. Αραιή] λεπτή.

v. 193. Ανθέρικος ὡς] Ανθέρικος ἐστὶν ὁ τοῦ ἀσφοδελοῦ καρπός.

v. 199. Γεραίστιον] Γεραιστὸς ἀκρωτήριον Εὐβοίας.

v. 204. Εφύλαξα] ἀντὶ τοῦ φυλάξω.

v. 210. Φοίνικος ποτὶ πρέμνον] Καὶ παρ' Ομήρῳ, Δήλῳ δή ποτε τοῖον Απόλλωνος παρὰ βωμῷ Φοίνικος νέον ἔρνος ἀνερχόμενον ἐνόησα.

v. 212. Αλυσθμαίνουσα] Πνευστιῶσα. Ασθμαίνουσα.

v. 215. Νύμφα Διὸς] Πρὸς τὴν Ηραν ὁ λόγος.

v. 225. Σάρον] τὸ κάλλυντρον.

v. 234. Οὐδὲ ὅτε οἱ ληθαῖον] Τὸ λήθην τῶν κακῶν ἐμποιοῦν.

v.235. Ποτὶ [λωχῖνα] Πρὸς τὴν γωνίαν τοῦ θρόνου.

Ibid. Λέχριος] πλάγιος.

v.237. Ἐνδρομίδας] Κυρίως τῶν κυνηγῶν τὰ ὑποδήματα.

v.242. Ἀλετρίδες] Αἱ θεράπαιναι αἱ ἀλήθουσαι.

v.246. Μάλα γάρ τε κακῶς] Καὶ γὰρ κακῶς τῇ Λητοῖ ἐχαρίσατο.

v.250. Μηόνιον Πακτωλὸν] Ποταμὸς Λυδίας, χρυσοῦ ψήγματα φέρων.

v.251. Ἑβδομάκις] Ἑπταμηνιαῖος γὰρ ἐτέχθη ὁ Ἀπόλλων.

v.258. Ὀλολυγὴν] Τὴν μετὰ εὐφημίας λέγει εὐχήν.

v.261. Λίμνη] Ἡ θάλασσα, διὰ τὸ περιτρέχειν κύκλῳ τὴν νῆσον. Ἡ λίμνη τὶς ἐν Δήλῳ περιφερής.

v.266. Ὦ πολύβωμε] Πρὸς τὴν γὴν λέγει πᾶσαν.

v.271. Λεχαίῳ] Λέχαιον, καὶ Κερχνὶς, ἐστὶν ἀκρωτήρια ἔνθα ὁ Ποσειδῶν τιμᾶται.

v.280. Αἵ τ' ἀνὰ μέσσην] Ἐν μεσημβρίᾳ.

v.281. Καὶ οἱ καθύπερθε] οἱ Ὑπερβόρειοι.

v.282. Οἰκία θινὸς] Θῖνα νῦν τὴν Ὠκεανοῦ ζώνην λέγει.

v.283. Καὶ μέντοι καλάμην τε] Λέγεται ὅτι οἱ Ὑπερβόρειοι δῶρα πέμπουσι τῷ Ἀπόλλωνι, ἅτινα δέχονται πρῶτοι Δωδωναῖοι.

v.286. Γηλεχέες] Καὶ Ὅμηρος, χαμαιεῦναι.

Μηλίδος] Μηλὶς, πόλις Τραχῖνος.

v.289. Ληλάντιον] Ἐν Εὐβοίᾳ πεδίον Ληλάντιον,

τιον, ἀπὸ Λήλαντος βασιλέως.

Αριμασπῶν] Εθνος τῶν Υπερβορέων.

v.292. Οὖπίς τε] Αἱ τρεῖς κόραι τῶν Υπερβορέων Σκυθῶν.

Ibid. Εὐαίων] ἡ μακαρία.

v.295. Εὔμοιροι] εὔφημοι.

v.298. Παρθενικαὶ] Απὸ κοινοῦ τὸ φορέουσιν.

v.299. Αρσενες] οἱ καθαροί.

v.302. Οὖλος ἐθείραις,] Ολόκληρος ταῖς θριξί. τουτέστι, λαμπρὸς ταῖς ἀκτῖσιν.

Ωλὴν] Ωλὴν γάρ τις Λύκιος εὗρε τὸν ὕμνον τοῦτον.

v.308. Αριήκοον] Αφροδίτης ἱερὸν ἐν Δήλῳ· ὅπερ Θησεὺς ἔκτισε, διὰ τὸ εὐχερῶς τὴν Αριάδνην ὀλισθῆσαι εἰς πόθον τοῦ Θησέως, καὶ χειρώσασθαι τὸν Μινώταυρον.

v.311. Σὸν περὶ βωμὸν] Τοῦτο καὶ Πλάτων ἔφη ἐν τῷ Φαίδωνι.

v.314. Θεωρίδος ἱερὰ] Τὸ ἑξῆς, θεωρίδος νηός. νῦν τὰ ἱερὰ φερούσης· κυρίως δὲ θεωρὸς, ὁ τὰ θεοῦ ὠρῶν, ὅ ἐστι φυλάσσων. ἐκ δὲ τούτου ὁ ἱερεύς.

v.315. Τοπήϊα] Οπλα νεὼς, παρὰ Λάκωσι. Σχοινία. Κάλοι.

v.321. Βωμὸν ἀπὸ πληγῆσιν] Εν Δήλῳ περὶ τὸν βωμὸν τοῦ Απόλλωνος ἔθος ἦν τρέχειν καὶ τύπτειν τὸν βωμὸν τοῦ Απόλλωνος μάστιγι, καὶ ἀποδάκνειν, ἐξηγκωνισμένους ἐκ τῆς ἐλαίας.

v.322. Ρησσόμενον] πλησσόμενον.

Ibid. Οδακτάσαι] Δράξασθαι. Δακεῖν.

v. 325. Ιστίη ὦ νήσων] Εστὶ μὲν κυρίως ὁ βωμὸς ὁ ἐν μέσῳ τῷ δόμῳ ἑστώς· ἐπειδὴ οὖν ἡ Δῆλος ἐν μέσῳ τῶν Κυκλάδων ἕστηκε, δοκεῖ ὥσπερ ἑστία τις καὶ βωμὸς εἶναι. Ibid. Εὐέστιε] εὔοικε.

ΕΙΣ ΛΟΥΤΡΑ ΤΗΣ ΠΑΛΛΑΔΟΣ.

V. 1. ΟΣΣΑΙ λωτροχόοι] Εν τινι ἡμέρᾳ ὡρισμένη ἔθος εἶχον αἱ Αργεῖαι γυναῖκες λαμβάνειν τὸ ἄγαλμα τῆς Αθηνᾶς, καὶ τὸ Διομήδους, καὶ ἄγειν ἐπὶ τὸν Ιναχον, κἀκεῖ ἀπολούειν.

v. 2. Φρυασσομέναν] Ποιὸν ἦχον ἀποτελουσῶν.

v. 4. Σοῦσθέ νυν] Ορμᾶτε.

v. 5. Απενίψατο πάχεις] Απὸ μέρους τὸ ὅλον.

v. 8. Γηγενέων] τῶν γιγάντων.

v. 11. Εφοίβασεν] ἐκάθηρεν.

v. 13. Μηδ' ἀλαβάστρως] Απὸ κοινοῦ τὸ οἴσατε.

v. 14. Συρίγγων] τῶν χοινικίδων.

v. 15. Αλαβάστρως] τὰς μυροθήκας.

v. 24. Παρ' Εὐρώτα] Ποταμὸς Λακεδαιμονίας.

Ibid. Τοὶ Λακεδαιμόνιοι] οἱ Διόσκουροι.

v. 25. Εμπεράμως] ἐμπείρως.

Ibid. Λιτὰ λαβοῖσα] Ασκεύαστα. Αμικτα.

v. 29. Αρσέν τε] Ητοι καθαρὸν, ἄμικτον.

v. 33.

v. 33. Ιλα] Η τῶν νυμφῶν φρατρία καὶ ἄθροισις.

v. 34. Ακεστοριδᾶν] Ακεστορίδαι, φυλὴ ἐπίσημος ἐν Αργει.

v. 37. Εὐμήδης ἐδίδαξε] Ποτὲ τῶν Ηρακλείδων ἐλθόντων κατὰ τῶν Ορεστιαδῶν, Εὐμήδης ἱερεὺς τῆς Αθηνᾶς ὑπενοήθη ὑπὸ τῶν Αργείων ὡς βουλόμενος προδοῦναι τὸ παλλάδιον τοῖς Ηρακλείδαις. φοβηθεὶς οὖν ὁ Εὐμήδης ἔλαβε τὸ παλλάδιον, καὶ παρεγένετο εἰς ὄρος τὸ καλούμενον Ιφειον.

v. 40. Κρεῖον δ' εἰς ὄρος] Ορος Αργους.

v. 41. Απορρώγεσσιν] Εν πέτραις ἐῤῥηγμέναις.

v. 42. Οὔνομα Παλλατίδες] Οὕτω γὰρ καλοῦνται ἀπὸ τῆς Παλλάδος.

v. 47. Η 's Φυσάδειαν] Φυσάδεια καὶ Αμυμώνη, θυγατέρες Δαναοῦ· ὅθεν τὴν ὀνομασίαν ἔσχον αἱ κρῆναι. v. 57. Νύμφαν μίαν] Τὴν Χαρικλὼ, μητέρα τοῦ Τειρεσίου.

v. 60. Εὖτ' ἐπὶ Θεσπιέων] Θέσπεια, Κορώνεια, Αλίαρτος, πόλεις Βοιωτίας.

v. 71. Ιππω ἐπὶ κράνᾳ] Οὕτω καλεῖται Ιππου κρήνη ἐν Ελικῶνι.

v. 76. Περκάζων] Μελαινόμενος ὑπὸ τῆς φύσεως τῶν τριχῶν.

v. 81. Ω Εὐηρείδα] Εὐήρους υἱὸς ὁ Τειρεσίας.

v. 87. Αλαστε] Ητοι ἀνεπίληστα ὑπομείνας.

v. 97. Μετὰ πάντα βαλεῦ] Τὸ ἑξῆς, μεταβαλεῦ.

v. 108. Πόσσα δ' Αρισταῖος] Ακταίων, υἱὸς Αὐτονόης

νόης καὶ Αριστάιου. οὗτος ὑπὸ τῶν ἰδίων κυνῶν ἐσπαράχθη, διὰ τὸ τὴν Αρτεμιν ἰδεῖν λουομένην.

v.109. Τὸν ἀβατὰν] τὴν ἡβητήν.

v.115. Τουτάκι] τὴν ἱκαῦτα.

v.120. Μενεῦτι] μέμοδσιν.

v.124. Ηλιθα] μάτην.

ΕΙΣ ΤΟΝ ΔΗΜΗΤΡΟΣ

ΥΜΝΟΝ.

v.1. Τῶ καλάθω κατιόντος] Ο Φιλάδελφος Πτολεμαῖος, κατὰ μίμησιν τῶν Αθηνῶν, ἔθη τινὰ ἵδρυσεν ἐν Αλεξανδρείᾳ. ἐν οἷς καὶ τὴν τοῦ καλάθου πρόοδον. ἔθος γὰρ ἦν ἐν Αθήναις, ἐν ὡρισμένῃ ἡμέρᾳ, ἐπὶ ὀχήματος φέρεσθαι καλάθιον εἰς τιμὴν τῆς Δήμητρος.

v.10. Εἴς τ' ἐπὶ τοὺς μέλανας] τοὺς Αἰθίοπας.

v.24 Οὔπω τὰν Κνιδίαν] Χώρα Θεσσαλίας.

v.28. Ωστ' ἀλέκτρινον ὕδωρ] Διαυγές. παρὰ τὸ ἤλεκτρον.

v.29. Εξ ἀμαρᾶν] Ομηρος, —— ἀμάρης ἐξέχματα βάλλων. εἰσὶ δὲ αἱ ὑδροῤῥόαι.

v.30. Οσσον Ελευσῖνι] Ελευσὶν ἐς Εννα, δῆμοι Αττικῆς.

v.38. Ποτὶ τὤνδιον] Περὶ τὸ μεσημβρινόν.

Ibid. Εψιόωντο] ἔπαιζον.

v.43.

v.43. Εείσατο] εἴσατο. ὡμοιώθη.

v.44. Εχε κλαῖδα] Τὴν κλεῖν, ὡς ἱέρεια.

v.46. Ανειμένα] ἀνακείμενα.

v.47. Πολύθεσθε] πολυπόθητε.

v.73. Προχανὰ] πρόφασις.

v.74. Ηνθον Ιτωνιάδος] Ιτὼν, πόλις Θεσσαλίας, ἔνθα τιμᾶται Αθηνᾶ. γένος δὲ ἐπίσημον οἱ Ορμενίδαι.

v.76. Επὶ Κρανῶνα βέβηκε] Πόλις Θεσσαλίας.

v.77. Ηνθε Πολυξὼ] Επίσημος ἄυτη.

v.80. Καὶ υἱέα] Τὸν Ερυσίχθονα.

v.82. Νεῖται τοι Τριόπας] ἔρχεται.

v.85. Δαίνυεν εἰλαπίνας] Εἰ ἑστιῶν φίλους ἦν τίς, ἐζητεῖτο δ' Ερυσίχθων, ἔλεγεν ἡ μήτηρ, Εν ἀλλοτρίοις οἰκήμασιν ἐστίν.

v.89. Κακὰ δ' ἐξάλλετο] Ηὐξάνετο ἐπὶ τῷ ἐσθίειν.

v.91. Αλεμάτως] ματαίως.

v.92. Πλάγκων] Η κήρινος νύμφη.

v.96. Χὠ μαστὸς τ' ἔπινε] Καὶ ὁ μαστὸς ὃ ἔπινεν. ἤγουν ἡ τροφός.

v.100. Αἰολίδος Κανάκης γένος] Η Κανάκη μήτηρ Τριόπα, θυγάτηρ Αἴολου.

v.109. Τὰν Εστίᾳ ἔτρεφε] Ηντινα τῇ Εστίᾳ ἔτρεφεν ἡ αὐτοῦ μήτηρ.

v.111. Καὶ τὰν αἴλουρον] Τὸν ἰδιωτικῶς λεγόμενον κάττον.

Ibid. Θηρία μικκά] οἱ μύες.

v.114. Ανεξήραινον] Ερημον ἐποίουν.

v.116. Ακόλους] ἄρτους.

v.123. Λευκὸν] λαμπρόν.

v.126. Παναπηρέας] ἀβλαβεῖς.

v.127. Ως αἱ λικνοφόροι χρυσῶ πλέα] Η χρυσοῦ πεπληρωμένα· ἢ ὅτι περιεχρύσουν αὐτὰ δι' εὐπρέπειαν.

v.129. Πρυτανήϊα τὰς ἀτελέστως] Τὰς μὲν ἀμυήτους κελεύω μέχρι τοῦ πρυτανείου παραγενέσθαι· αἵτινες δέ εἰσιν ἐξήκοντα ἐνιαυτῶν, ἢ καὶ πλειόνων, ταύτας κελεύω κατὰ τὸ δυνατὸν ἀκολουθῆσαι τῷ καλάθῳ.

v.133. Ταῖσι δὲ Δηὼ] Ταῖς ἐλθούσαις καὶ ταῖς μὴ ἐλθούσαις ἴσον μισθὸν δώσει.

LECTO-

LECTORI.

CVM in Etymologico Græco nonnulla interdum mihi aliud agenti Callimachi fragmenta occurrerent, operæ pretium censui totum percurrere. Excerpsi itaq. hæc, quæ vt & superiora, mendosa edere malui quàm te iis fraudare.

In voce Αἶρα.

— Λάθρη δὲ παρ' Ηφαίστοιο καμίνοις
Εστρεφον αἱράων ἔργα διδασκόμενοι. vbi Αἶρα idem est, quod σφαῖρα.

In voce Αλες.

Ες τὸ πρὸς τείχευς ἱερὸν ἀλέες δεῦτε. Αλέες positum pro ἀολλέες, τουτέστι ὁμοῦ.

In voce Αλίαστος.

Φοιτίζειν ἀγαθοὶ πολλάκις θεοί.
Citatur hic Callimachi locus ab Etymolog. vt ostendat ἀλίζω formari ab ἀλῶ. quemadmodum φοιτίζω à φοιτῶ.

In voce Αλλιξ.

Αλλικα χρυσείῃσιν ἐεργομένην ἐνέτησι.

Αλλιξ Thessalica lingua significat τὴν χλαμύδα. significat & τὸ ἐμπόρπημα.

In voce Αλωα.

Δινομένη περὶ βουσὶν ἐμὴν ἐφύλαξεν ἅλωα.
pro ἅλω κατ' ἐπέκτασιν.

In voce Αμπρεύω.

Ανδρ' ἐλαιοὶ δ' ἐκλείοθεν ἀμπρεύοντες.
Propriè vsus est Call. verbo Αμπρεύειν ἐπὶ τοῦ ἕλκειν. Nam Αμπρον propriè est, Τὸ σχοινίον τὸ ἕλκον τοὺς βόας.

In voce Αρδις.

—— ἀλλ' ἀπὸ τόξου
Αὐτὸς ὁ τοξευτὴς ἄρδιν ἔχων ἑτέραν.
Significat verò ἄρδις, cuspidem teli.

In voce Αρπίς.

Εν μὲν γὰρ τροιζῆνι θῆκε σὺν ἀρπίδεσι, hoc est τοῖς ὑποδήμασι.

In voce Ασινεῖς.

Δειλαίοις ἀσινεῦσιν ἐπὶ τριπτῆρες * ἁρπάσας.
sunt verò Ασινεῖς, δρύοπες οἱ τὴν ἀσίνην κατοικοῦντες.

In voce Ασκάντης.

Καὶ τὰ μὲν ἐπ' ἀσκάντα κάθισεν. significat verò Ασκάντης, κλινίδιον εὐτελὲς. Atticis σκίμπους.

In vo-

In voce Ασσυρία.

Η ἀπὸ Ασσυρίων ἡμεδαπὴ στρατιή. Et
Ημισυ μὲν Πέρσαι, ἥμισυ δ' Ασσύριοι. τουτέστι Βαβυλώνιοι.

In voce Αστριας.

—Δέκα δ' ἄστριας αἴνυτο λάθρον.
ὑποκοριστικῶς ab ἀστράγαλος.

In voce Αστυρον.

Η μὲν ἀερτάζουσα μέγα τρύφος ὑψιζώρου
Αστυρον εἰς ἀνέβαινεν. hoc est εἰς ἄστυ ὑποκορυστικῶς.

In voce Αττάραγος.

Οὔτε τὸν ἀτάραγον τοι δέδοικεν. παρὰ τὸ Αταραγός τις.

In voce Αφαυρός.

Η ἄφαρον φαρόωσι. hoc est τὴν ἀγεώργητον γῆν.

In voce Βεῦδος.

Εν δὲ πάρῳ καλάτε ἐς αἰόλα βεῦδε' ἔχουσαι. hoc est τὰ ποικίλα ἢ πορφυρὰ ἱμάτια.

In voce Βλωμὸς.

Οσον βλωμοῦ πίονος ἠράσσατο. hoc est ψωμοῦ.

In voce Βούχετα.

Εξ ἁλὸς οὐ δίκην ἀνέρα βουχέτιον ἕλκειν. est verò βουχέτιον

βȣχέτιον ἐθνικὸν à Βȣ́χετα neutro plurali, vrbe Epiri.

In voce Βωνίτης.

Οἵȣς βωνίτησιν ἐνὶ κρύπτȣσι γυναῖκες. significat. τὸ βȣκόλον.

In voce Γαιοδόϑ.

Γαιοδόϑ καὶ σπάρτα διηνεκὲς εὖτε βάλωνται. sunt verò Γαιοδόϑ, οἱ ἀρχιτέκτονες.

In voce Γενέθλη.

Τὴν δὲ γένην οὐκ οἶδα. Γένη fœmininum.

In voce Γλαρίς.

Καὶ γλαρίδες σταφύλη τε καθισμένη τε μολιβδίς. est verò γλαρὶς, λιθοξοϊκὸν ἐργαλεῖον.

In voce Γραικὸς.

Γραικοὶ ἐ γῆς ἡμετέρης ἀδαεῖς. hoc est ἕλληνες.

In voce Γράσων.

Ος ἀιζηῶν ἔγραε κηδεμόνος. significat verò Γράσων τὴν χλωρὴν κριθὴν. ἀπὸ τȣ̃ γράω, τὸ ἐσθίω.

In voce Γράμμα.

Γράμματα δ' οὐκ εἴλισσεν ἀπόκρυφα. hoc est ποιήματα.

In voce

In voce Δάκνω.

Ξεῖνος ἐχιδναῖον νέρθεν ἄγων δάκετον. hoc est θηρίον· παρὰ τὸ δάκνω.

In voce Δανάκης.

Τȣνεκα καὶ νέκυες πορθμήϊον ȣ̓ῆτι φέρονται
Μοῦνη ἐπιπτολίων ὅτε θυμιονησέμεν *

ἀλλ' ȣ̓σάνοις ἐκ στομάτεσσι νεὼς Αχερȣσιὰς ἐπὶ βάθρον δανάκης. Est verò Δανάκης numisma, obolo maius, quod veteres mortuorum ori imponebant.

In voce Δεκαφύϊα.

Τῶν ἔτι σοι δεκαφύϊα φάτο ζωάγρια τίσειν. hoc est δεκαπλάσια.

In voce Διάκτορος.

Αλλὰ θεῆς ἥ τις με διάκτορον ἔλλαχε Παλλὰς. hoc est διάκονον καὶ διαγωγέα τῶν ψυχῶν.

In voce Δίασμα.

—Διάσματα φάρεος ἀρχήν. significat verò δίασμα τὴν πρώτην τȣ̃ ἱματίȣ ἐργασίαν.

In voce Διερὸς.

—Διερὴν δ' ἀπεσείσατο λαίφην. hoc est ὑγρὴν.

In voce Δίκρον.

—Δίκρον φίλτρον ἀειραμένη. hoc est δίκρανον ξύλον.

In voce

In voce Διφῶ, τὸ ψηλαφῶ.

Μήδ' ἀπ' ἐμεῦ διφᾶτε μέγα ψοφέουσαν ἀοιδήν.

In voce Δόναξ, τουτέστι κάλαμος.

Καὶ δόνακι πλήθοντα λιπὼν ῥόον Ἀστερίωνος.

In voce Δύπτης.

Δύπτῃ τ' ἐξ ἁλὸς ἐρχόμενοι ἔνδιοι καύηκες.

In voce Εἶαρ.

Τὸ δ' ἐκ μέλαν εἶαρ ἔδαπτεν. hoc est τὸ αἷμα.

In voce Εἰνατία.

Εἰνατίην ὁμόδελφον ἐπ' ὠδίνεσσιν ἰδοῦσαι. est verò εἰνατίη epithetum Lucinæ. εἴνατος mons Cretæ vbi colebatur Lucina.

In voce Εἰσπνήλης.

Μέμβλετο δ' εἰσπνήλαις, ὁππότε κοῦρος ἴοι. est verò εἰσπνήλης ὁ ἐρώμενος ἤτοι ὑπὸ τοῦ ἔρωτος εἰσπνεόμενος.

In voce Εμπελάτρεια.

Τοὺς αὐτῷ σκολίους ἐμπελάτρεια τέκεν γυνή. hoc est ἑταίρη.

In voce Ζαγρεύς.

ἠέα Διόνυσον ζαγρέα γιγνομένη. hoc est τὸν ζα, id est, τὸ πάνυ ἀγρεύοντα.

In voce Ζάγκλον.

Κέκρυπτῃ γυνὴ ζάγκλον ὑποχθονίη. hoc est τὸ δρέπανον.

In voce

In voce Ηλιτόμηνος.

Τὸν σὺκ ἔπλησε φέρουσα μήτηρ οὓς ὤδινε μῆνας.

In voce θαλῆς.

Πολὺ τὸ δῶρον ἐς θάλητα ὤλισθεν.

In voce Κέλευθος.

Τὰ τράχηλα γυμνάζει. mutatione generis in aliud genus. ὁ τράχηλος. τὸ τράχηλον. vt ὑγρὰ κέλευθα.

In voce Κηκὰς. i. λοιδωρία.

Κηκάδι σὺν γλώσσῃ.

In voce Κίβισις.

Εἰ γὰρ ἐπιθήσει πάντα ἐμὴ κίβισις. hoc est ἡ κιβωτὸς ἢ πήρα.

In voce Κοάλεμος.

Ἠδ' ἐκώησεν οὕνεκα γένος ἔσκεν. ἀπὸ τοῦ κῶ τὸ νοῶ. Inde κοάλεμος, ὁ μωρός.

In voce Κῶος.

Τῷ ἴκελον τὸ γραμμα τὸ κώιον, pro Κῶον.

In voce Λάκτις.

Αὖθις ἀπαιτίζουσαν ἔκνον ἐυεργέα λάκτιν. hoc est σκυτάλην τὴν τεραύνην.

In voce Λογχάδες.

———— ὅστις ἀλιτρὸς

Αὐγάζειν καθαραῖς οὐ δύναται λογχάσιν.

Λογχάδες sunt, τὰ ἐπὶ τῶν ὀφθαλμῶν λευκά.

In voce

In voce Λύχνα.

Λύχνα φανείη, per metaplasmum generis à λύχνος.

In voce Μίκκος. i. μικρός.

Τοῖς μικκοῖς μικκὰ διδοῦσι θεοὶ.

In voce Μύκλος.

Εστι μοι μάγνης ἐννέα μύκλος ὄνος. Est autem Μύκλος ἡ ἐν τῷ τραχήλῳ τῶν ὄνων ὑποδίπλωσις.

In voce Ολπις.

Καί ῥα παρὰ σκαιοῖο βραχίονος ἔμπλεον ὄλπιν. hoc est τὴν λήκυθον.

In voce Πόα.

Αἴγυπτος προπάροιθεν ἐπ' ἐννέα κάρφετο ποιάς. hoc est ἐνιαυτοὺς. διὰ τὸ ἅπαξ καὶ μόνον ἐν τῷ ἐνιαυτῷ τὴν βοτάνην φύεσθαι.

In voce Φαρῶ.

Αφαρον φαρόωσι, μέλει δέ σφισιν ὄμπνιον ἔργον. hoc est ἀροτριῶσι.

In voce Φιαρός.

Φιαρὴ τῆμος ἀνέσχεν ἕως. à φάος fit φαερὸς inde φιαρός.

Τέλος.

BONAVENT. VVLCANII ANNOTATIONES IN CALLIMACHVM:

IN HYMNVM PRIMVM, QVI EST IN IOVEM.

Verſ.3. Πηλογόνων] Epitheton Gigantum, quos Hymuo εἰς λοῦτρα τῆς Παλλάδος verſ.8. Γηγενέας vocat,

οὐδ' ὅκα δὴ λύθρῳ πεπαλαγμένα πάντα φέροισα
Τεύχεα τῶν ἀδίκων ἦνθ' ἀπὸ γηγενέων.

